




ΠΕΡΙ ΤΗΣ

ΚΑΤΑΓΩΓΗΣ ΤΟΥ ΓΕΝΟΥΣ

ΤΩΝ ΝΥΝ ΕΛΛΗΝΩΝ

ΚΑΙ

[illegible]

[illegible]

ΥΠΟ

[illegible]

[illegible]

ΕΝ ΑΘΗΝΑΙΣ

[illegible]

[illegible]

ΠΕΡΙ ΤΗΣ

ΚΑΤΑΓΩΓΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΤΩΝ ΝΥΝ ΕΛΛΗΝΩΝ

ΚΑΙ


ΤΙΝΩΝ ΗΘΩΝ ΚΑΙ ΕΘΩΝ ΑΥΤΩΝ

ΜΕΤΑ ΠΑΡΑΛΛΗΛΙΣΜΟΥ ΠΡΟΣ ΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ.

ΥΠΟ

ΧΑΡΙΣΗ ΠΟΥΛΙΟΥ,
ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

ΕΝ ΛΕΙΨΙΑ.
ΤΥΠΟΙΣ ΟΘΩΝΟΣ ΒΙΓΑΝΔΟΥ.
1870.



ΤΩι ΑΟΙΔΙΜΩι

ΑΡΧΙΕΠΙΣΚΟΠΩι ΜΑΝΤΙΝΕΙΑΣ ΚΑΙ ΚΥΝΟΥΡΙΑΣ

ΘΕΟΦΑΝΕΙ.

ΕΥΠΑΤΡΙΔΗι ΜΑΚΕΔΟΝΙ

ΕΜΟΙ ΔΕ ΘΕΙΩι ΚΑΙ ΕΥΕΡΓΕΤΗι

ΕΛΑΧΙΣΤΟΝ

ΜΕΓΙΣΤΗΣ ΕΥΓΝΩΜΟΣΥΝΗΣ

ΤΕΚΜΗΡΙΟΝ

Η ΒΙΒΛΟΣ ΗΔΕ

ΑΝΑΤΙΘΕΤΑΙ.

ΠΙΝΑΞ

τῶν περιεχομένων.

Πρόλογος . . . . *Σελ.* 7

Μέρος πρῶτον. Περὶ τῆς γνώμης, τοῦ Φαλλμεραΰέρου καὶ τοῦ ἡμαρτημένου αὐτῆς . . . . „ 10

Μέρος δεύτερον. Περὶ τῶν νῦν ἐν Ἑλλάδι ἐθίμων.

Α΄. Περὶ τῶν περὶ τοὺς νεκροὺς νομίμων . . . . . . „ 25

Β΄. Περὶ τῶν περὶ τοὺς γάμους νομίμων . . . . . . „ 31

Γ΄. Περὶ παιδιῶν . . . . „ 36

Δ΄. Περὶ δεισιδαιμονιῶν . . . . „ 43

Ε΄. Περὶ φαρμακείας καὶ Ἐπῳδῶν . . . . „ 50

ΣΤ΄. Περὶ μαντικῆς καὶ ὀνειροκριτικῆς . . . . „ 53

Μέρος τρίτον. Περὶ γλώσσης . . . . „ 57

Βίος Χ. *Δ. Π.* . . . . „ 63

ΠΡΟΛΟΓΟΣ.

Τὰς ἀπαρχὰς τῶν ἐμῶν σπουδῶν τῷ φιλολογικῷ κόσμῳ ἐκδοῦναι προθέμενος χρέος πρώτιστον καὶ δίκαιον ἡγοῦμαι τοῦ πολλαχῶς εὐεργετήσαντός με θείου Θεοφάνους τοῦ Σιατιστέως, τοῦ ἐπὶ ἑκκαιδεκαετηρίδα Ἀρχιεπισκόπου Μαντινείας καὶ Κυνουρίας διατελέσαντος, ἐν τῇ κεφαλίδι τῆςδε μικρᾶς πραγματείας μνημονεῦσαι. Τούτῳ οὖν τῷ εὐπατρίδῃ καὶ ἀοιδίμῳ Μακεδόνι, ὅς μοι οὐ μόνον ἐν τῷ τῶν Ἀθηνῶν Πανεπιστημίῳ περὶ τὴν φιλολογίαν σπουδάζοντι τὰς δαπάνας παρείχετο, ἀλλὰ καὶ εἰς τὴν κλεινὴν τῶν μουσῶν ἕδραν, Γερμανίαν, ἰδίοις ἀναλώμασιν ἀπέστειλέ με, τελεώτερον ἐν τῇ φιλολογίᾳ παιδευθησόμενον, δημοσίᾳ ἀποδιδοὺς πολλὰς τὰς χάριτας, ἐμὸν εὐεργέτην ἀνακηρύττω. Πλείστας δ' ὡσαύτως χάριτας ἔχω καὶ τοῖς τοῦ ἐν Λειψίᾳ Πανεπιστημίου καθηγηταῖς· τῷ τε σεβαστῷ καὶ δεινῷ περὶ τὴν τῶν Ἑλλήνων σοφίαν Ῥιτσελίῳ, καὶ τῷ τὰς τῶν παλαιῶν

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

Περὶ
τῆς γνώμης τοῦ Φαλλμεραϋέρου καὶ τοῦ ἡμαρτημένου αὐτῆς.

Ὁ Φαλλμεραΰερος ἱστορίαν τῆς Πελοποννήσου[1] *συγγράψαι βουλόμενος καὶ Βυζαντινοῖς καὶ ἄλλοις οὔτε πολλοῦ λόγου οὔτε πίστεως ἀξίοις συγγραφεῦσι χρησάμενος, ὧν τὰς ῥήσεις ἀκρωτηριάζει, διαβολὰς πολλὰς καὶ λοιδορίας τῶν νῦν Ἑλλήνων κατεσκεδάσατο. Εὐθὺς γὰρ ἐν τῇ κεφαλίδι τῆς βίβλου αὐτοῦ, ὡς ἀπὸ Πυθωνικοῦ τρίποδος ἀποφαίνεται, ὅτι οὐδεὶς τῶν νῦν τὴν Ἑλλάδα οἰκούντων ἀπόγονος τῶν ἀρχαίων ἐστὶν Ἑλλήνων, ἀλλὰ πᾶσα τοῦ σώματος καλλονή, ἤθη καὶ σχεδὸν τὸ ὄνομα Ἕλλην ἐκ τῆς Ἑλληνικῆς γῆς ἐξηφάνισται. Ἀλλά μοι δοκεῖ πολὺ τοῦ ὀρθοῦ τὸν Φαλλμεραΰερον διαμαρτάνειν τὴν τοῦ σώματος Ἑλληνικὴν*

---

1) Geschichte der Halbinsel Morea während des Mittelalters von Prof. J. Phil. Fallmerayer. 2 Theile. Stuttgart 1830 u. 1836.

πόντες, περὶ τῶν ἐθῶν καὶ γλώσσης τῶν νῦν Ἑλλήνων πραγματεύσασθαι, οὐκ ἄτοπον ἡμῖν ἔδοξε πρῶτον ὀλίγα ἐκ τῶν πολλῶν μνημονεῦσαι, ὅσα ὁ Φαλλμεραΰερος τῶν νῦν Ἑλλήνων ἢ κατεσοφίσατο ἢ κατεψεύσατο, καὶ τούτοις ἐς δύναμιν ἀντειπεῖν πειράσασθαι· ὀυ γὰρ τοῦ παρόντος χρόνου οὐδ' ἐμὸν τὸ ἔργον ἅπαντα καθ' ἕκαστον ἀνασκευάσαι· εἶτα δὲ ἐπὶ τὸν περὶ ἐθῶν καὶ γλώσσης λόγον χωρῆσαι.

Ἕλληνες πρὸς τούτοις, ἐπιφέρει, εἰσὶν ὑπερήφανοι καὶ ῥωμαλέοι, τὴν μὲν φυὴν μεγαλοπρεπεῖς τὸ δὲ ἦθος φαιδροὶ καὶ φιλόφρονες, καὶ ἔχοντες τοὺς μὲν βραχίονας καὶ κνήμας μυώδεις τοὺς δὲ ὀφθαλμοὺς ἥμερον καὶ πύρινον ὁρῶντας· κεκοσμημένοι δὲ τῇ γραφικωτάτῃ πατρίῳ αὐτῶν στολῇ βαδίζουσιν ὡς ἔμψυχοι τῶν παλαιῶν ἀνδριάντες". Συνελόντι δὲ φάναι, ὁ Γρέβερος πολλοὺς τῆς Ἑλλάδος τόπους περιελθὼν καὶ ἐπιεικῶς κρίνων περὶ τοῦ πράγματος, ἢ μᾶλλον τὴν ἀλήθειαν λέγων, θαυμάζει μὲν τὸ τῶν Ἑλλήνων κάλλος, ὅπερ πολὺ πρὸς τὸ τῶν ἀρχαίων ὅμοιον εὑρίσκει, ὀρθῶς δὲ καὶ πάνυ δικαίως ἀποφαίνεται, ὅτι οἱ νῦν Ἕλληνες πολλὰ πρὸς τοὺς ἀρχαίους ἔχουσι τὰ κοινά· Ἐν γὰρ τῇ νῦν Ἑλλάδι, φησί, πολλὰ ἄν τις εὕροι πρὸς τὰ τῶν παλαιῶν Ἑλλήνων ὅμοια καὶ παρεμφερῆ· τὰς αὐτὰς μὲν τῆς ψυχῆς καὶ τοῦ σώματος ἀρετὰς καὶ κακίας, τὴν αὐτὴν δὲ ἀγχίνοιαν, τὸν αὐτὸν δὲ βίον καὶ ἐπιτηδεύματα· καὶ αὖ πάλιν τὸ αὐτὸ μὲν τῆς γνώμης ἀσταθὲς καὶ γοργόν, τὴν αὐτὴν δὲ ἐπὶ πατραγαθίας ἀλαζονείαν, ὅμοιον δὲ καὶ τὸ πρὸς ἀλλήλους φθονερὸν καὶ φιλόνεικον. Ψεύδεται ἄρα Φαλλμεραΰερος, ἰσχυριζόμενος τὸ τῶν σωμάτων κάλλος οἴχεσθαι καὶ ἐξηφανίσθαι ἀπὸ τῆς Ἑλληνικῆς χώρας.

Ἐνταῦθα οὐκ ἄτοπόν μοι δοκεῖ και τὰ ἑξῆς συγκαταγράψαι, ἐν τῇ ὑπὸ Wachsmuth ἐκδοθείσῃ βίβλῳ

ἀναγινωσκόμενα [4]· „Es ist bekannt, wie die Ansicht dass in den Adern der Junghellenen kein Tropfen ächten griechischen Blutes fliesse, dass diese vielmehr ein wüstes Conglomerat zusammengelaufener Barbaren meist slavischer Abstammung seien, einen unverächtlichen Vertreter in dem berühmten Fragmentisten, dem Münchener Fallmerayer gefunden hat. Aber so glänzend, selbst rabulistisch gewandt auch seine Darstellungen sind, so sehr seine satirischen Bemerkungen über die heutigen Zustände von Hellas häufig den Nagel auf den Kopf treffen, und so wenig die mit dem vollen Uebermuthe der Ingnoranz über ihn herfallende erbitterte Nationaleitelkeit ihn in irgend einem Hauptpunkte aus dem Felde geschlagen hat: so sicher ist diese mit nicht geringerem Scharfsinn als Hartnäckigkeit verfochtene Hypothese grundfalsch. Sorgfältige Benutzung aller einschlagenden Quellen führt eine besonnene Forschung zu ziemlich abweichenden Resultaten. Allerdings hat im Laufe der Jahrhunderte das hellenische Volk nicht unbeträchtliche Mischung mit fremdem Blute erfahren, aber stets doch nur in so geringen Portionen, dass es sich die fremden Bestandtheile vermöge seiner eminenten Geisteskraft so gut wie völlig assimilirt hat, in keiner Weise von ihnen absorbirt worden ist.“

---

4) Das alte Griechenland im Neuen von Curth Wachsmuth, mit einem Anhang über Sitten und Aberglauben der Neugriechen bei Geburt Hochzeit und Tod. Bonn 1864. *σελ.* 8. *ὅρα καὶ σελ.* 10. *καὶ ἑξῆς.*

Ἀλλαχοῦ δὲ πάλιν ὁ αὐτὸς Φαλλμεραΰερος μένεα καὶ θυμὸν πνέων ὧδέ πως ἀναφωνεῖ· Καυχάσθωσαν, ἀναβοᾷ, οἱ νῦν καλούμενοι Ἕλληνες, ὅτι οἰκοῦσι τὴν χώραν ἔνθα τὸ πάλαι ἡ τοῦ Πλάτωνος ἦν Ἀκαδημία· ἀλλ' οὔτε Πλάτωνας οὔτε Μενάνδρους, ἐπιφέρει ὁ γεννάδας Φαλλμεραΰερος, οὐδὲ ζητῶν ἴδοι ἂν τις ἐκεῖ. Ἀλλὰ γελοῖα, Νὴ Δία, ἀπαιτεῖ ὁ ἀνήρ, Πλάτωνας καὶ Μενάνδρους ἐν Ἀθήναις εὑρεῖν ἐπιθυμῶν, ὅτε μόλις οἱ Ἕλληνες μετὰ χρόνιον δουλείαν ἀνεκτήσαντο τὴν ἐλευθερίαν, μακρὸν καὶ αἱματηρὸν πολεμήσαντες πόλεμον. Ἀλλὰ καίπερ οἱ Ἕλληνες οὐδὲ Πλάτωνας οὐδὲ Μενάνδρους ἔχοντες ἐπιδείξασθαι, οὐδὲ Φειδίας καὶ Πραξιτέλεις, ὅπως ἂν ἴσως ἀπήτησεν ὁ Φαλλμεραΰερος, ἀλλ' ὅμως οὐδέποτε ἐξέλιπον ἀπὸ τῆς Ἑλλάδος ἄνδρες τὴν πάτριον φωνὴν καλῶς εἰδότες καὶ γράφοντες. Καὶ ἵνα παραλείψω τοὺς ὀλίγον τοῖς χρόνοις παλαιοτέρους, τον πολυμαθέστατον καὶ πάσης Ἑλληνικῆς παιδείας μετειληφότα Φώτιον, Σουΐδαν τὸν ἄριστον λεξικογράφον, Εὐστάθιον τὸν πολυΐστορα ἐκεῖνον τῆς Θεσσαλονίκης Ἀρχιεπίσκοπον, τὸν Ἰωάννην Τσέτσην, Γρηγόριον τὸν Ἐπίσκοπον Κορίνθου, Νικηφόρον τὸν Βλεμμύδην, Μάξιμον Πλανούδην, Κωνσταντῖνον Ἁρμενόπουλον καὶ πολλοὺς ἄλλους, ἀρκείτω μοι μνημονεῦσαι τοὺς ἀπὸ τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τοῦ Βυζαντίου ζήσαντας λογίους Ἕλληνας, ὧν

ὁ ἀριθμός, ὡς ἐν τοῖς ὑπὸ Βρετοῦ[5]) καὶ Σάθα[6]) ἐκδοθεῖσι συγγράμμασιν ἔξεστιν ἰδεῖν, πάμπολυς φαίνεται· πλείους γὰρ ἢ χίλιοι ἐγένοντο οἱ ἀπὸ τοῦ χρόνου ἐκείνου τήν τε Ἑλληνίδα καὶ Λατινίδα φωνὴν καλῶς εἰδότες καὶ γράφοντες. Καὶ πρῶτον ἄξιον μνημονεῦσαι τοὺς περὶ τὸν Τραπεζούντιον Βησσαρίωνα, Θεόδωρον Γαζῆν καὶ Κωνσταντῖνον Λάσκαριν εἰς Ἰταλίαν μεταβάντας, καὶ εἰς τὴν Ἑσπερίαν Εὐρώπην τὴν Ἑλληνικὴν παιδείαν καὶ γλῶσσαν μετενεγκόντας.[7]) Ἐν τούτοις, ὡς πᾶσι γνωστόν, τὰ πρῶτα φέρουσιν οἱ ἑξῆς, Γεώργιος Γεμιστὸς Πλήθων, Γεώργιος Σχολάριος, Ἐμμανουὴλ Μοσχόπουλος, Ἰωάννης Ἀργυρόπουλος, Γεώργιος Τραπεζούντιος, Λαόνικος Χαλκοκονδύλης, Δημήτριος Χαλκοκονδύλης, Ἀνδρόνικος Κάλλιστος, Μάρκος Μουσοῦρος, Ἰωάννης Μόσχος.

Ἐν τούτοις δὲ πλὴν τῶν εἰρημένων καταλεκτέοι

---

5) Νεοελληνικὴ φιλολογία, ἤτοι κατάλογος τῶν ἀπὸ τῆς Βυζαντινῆς αὐτοκρατορίας μέχρι ἐγκαθιδρύσεως τῆς ἐν Ἑλλάδι βασιλείας τυπωθέντων βιβλίων παρ' Ἑλλήνων ὑπὸ Ἀνδρ. Παπαδοπούλου Βρετοῦ Μέρ. Α'—Β'. ἐν Ἀθήναις 1854—1857.

6) Νεοελληνικὴ φιλολογία. Βιογραφίαι τῶν ἐν τοῖς γράμμασι διαλαμψάντων Ἑλλήνων ἀπὸ τῆς καταλύσεως τῆς Βυζαντινῆς αὐτοκρατορίας μέχρι τῆς Ἑλληνικῆς ἐθνεγερσίας, ὑπὸ Κωνσταντίνου Σάθα. ἐν Ἀθήναις 1868.

7) Geschichte der griechischen Literatur von Dr. Rudolf Nicolai. Magdeburg 1845. ὅρα σελ. 3.

εἰσὶ καὶ οἱ ἑξῆς· Μανουὴλ Χρυσολωρᾶς, Ματθαῖος Καμαριώτης, Γεώργιος Ἀμυρούτσης, Ἑρμώνυμος ὁ Σπαρτιάτης, Μιχαῆλος Ἀποστόλης, Νικόλαος Τομαῖος καὶ Ἰουστῖνος Δεκάδυος.

Παρὰ δὲ τούτους, ἵνα ὀλίγους ἔτι ἀπὸ πολλῶν καταλεξώμεθα παρατιθέμεθα ἐφεξῆς τὰ ὀνόματα αὐτῶν. Ἐν μὲν οὖν τῇ δεκάτῃ ἕκτῃ ἑκατονταετηρίδι ἤκμασαν οἱ ἑξῆς· Ἰάννος Λάσκαρις ὁ Ῥυνδακινός, Καλλιέργης Ζαχαρίας, Δημήτριος Μόσχος, Ἀρσένιος Ἀποστόλης, Παχώμιος Ῥουσάνος, Δαμασκηνὸς Στουδίτης, Ἄγγελος Βεργίκιος, Φραγκίσκος Πόρτος, Ἰωάννης Ζυγομαλᾶς, Μιχαὴλ Σοφιανός, Ἀλέξανδρος Νερούλης, Στέφανος Λουξινιάνος, Ἀνδρέας Εὐδαιμονογιάννης, Μελέτιος Πηγᾶς, Μάξιμος Μαργούνιος.

Ἐν δὲ τῇ δεκάτῃ ἑβδόμῃ ἑκατονταετηρίδι οἱ Θεόφιλος Κορυδαλλεύς, Μελέτιος Συρίγος, Ἰωάννης Ματθαῖος Καρυοφύλλης, Λέων Ἀλλάτιος, Νικόδημος Μεταξᾶς, Μητροφάνης Κριτόπουλος, Ἰωάννης Κωττούνιος, Ἀγάπιος Λάνδος, Ἀθανάσιος Σκληρός, Γεράσιμος Βλάχος, οἱ ἀδελφοὶ Λειχοῦδαι, Μελέτιος καὶ Γεώργιος Χορτάκης, Ἀλέξανδρος Μαυροκορδάτος, Μελέτιος ὁ ἐξ Ἰωαννίνων Μητροπολίτης Ἀθηνῶν, Ἠλίας Μηνιάτης καὶ πλεῖστοι ἄλλοι ἐπὶ παιδείᾳ διαπρέψαντες.

Ἐν δὲ τῇ δεκάτῃ ὀγδόῃ ἑκατονταετηρίδι οἱ Χρύσανθος Νοταρᾶς, Ἀναστάσιος Γόρδιος, Μακάριος Πάτ-

μιος, Ἀναστάσιος Παπαβασιλόπουλος, Μιχαὴλ Περδικάρης, Ἰωάννης καὶ Γεώργιος Πατούσας, Ἀλέξανδρος Ἑλλάδιος, Μελέτιος Τυπάλδος, Βικέντιος Δαμωδὸς, Ἀλοΐσιος Ἀνδρούτσης, Νικόλαος Λογοθέτης, Εὐστράτιος Ἀργέντης, Κωνσταντῖνος Τσεχάνης, Νικόλαος Παπαδόπουλος, Καισάριος Δαπόντες, Νεόφυτος Καυσοκαλυβίτης, Μιχαὴλ Παπαγεωργίου, Γεώργιος Ζαβίρας, Μιχαὴλ Παπαγεωργίου, Δημήτριος Δάρβαρις, Λάμπρος Φωτιάδης, καὶ οἱ σοφώτατοι Εὐγένιος ὁ Βούλγαρις καὶ Νικηφόρος ὁ Θεοτόκης.

Ἐν δὲ τῇ δεκάτῃ ἐννάτῃ ἑκατονταετηρίδι ἤκμασαν οἱ ἑξῆς· Γρηγόριος ὁ Ε΄. Πατριάρχης Κωνσταντινουπόλεως, Νικόδημος ὁ Ἁγιορείτης, Σέργιος Μακραῖος, Πολυζώης Κοντός, Ἀθανάσιος ὁ Πάριος, Δημήτριος Γαλανός, Κήρυκος Χαιρέτης, Γεράσιμος Γρηγορίτης, Ἀδαμάντιος Κοραῆς, Σπυρίδων Βλαντῆς, Κωνσταντῖνος Κούμας, Ἄνθιμος Γαζῆς, Κωνσταντῖνος Βαρδαλάχος, Γρηγόριος Κωνσταντᾶς, Δημήτριος Γουζέλης, Ἰάκωβος Ῥίζος ὁ Νερουλός, Νεόφυτος Δούκας, Διονύσιος Πύρρος, Ἀθανάσιος Χριστόπουλος, Στέφανος Οἰκονόμος, Γεώργιος Γεννάδιος, Νεόφυτος Βάμβας, Ἀνδρέας Μουστοξύδης, Θεόκλητος Φαρμακίδης καὶ ὁ πολυμαθέστατος Κωνσταντῖνος Οἰκονόμος.

Ἐκ δὲ τῶν ζώντων πεπαιδευμένων Ἑλλήνων μνημονεύω μόνον τοὺς τὰ πρῶτα φέροντας Κωνσταντῖνον Ἀσώπιον καὶ Φίλιππον Ἰωάννου, ἐῶν τοὺς ἄλλους.

2

Ἀρά γε οὐχ ἱκανὸς ὁ ἀριθμὸς τοσούτων λογίων Ἑλλήνων ἐξελέγξαι τὸν Φαλλμεραΰερον οὐκ ἀληθῆ λέγοντα, ὅτε ἰσχυρίζεται Σκύθας, Βουλγάρους, Σλάβους καὶ Ἀρναούτας καὶ ἄλλους βαρβάρους τὴν Ἑλλάδα οἰκεῖν;

Οὕτω δὲ φιλόσλαβος ἀναφαίνεται ὁ ἀνήρ, ὥστε οὐ μόνον ἐν τοῖς προσώποις τῶν νῦν Ἑλλήνων μορφὴν Σλάβων ἐνορᾷ ἀλλὰ καὶ ἐν ταῖς ὀνομασίαις πόλεων καὶ τόπων ἀνευρίσκει ἀρχὴν σλαβικήν· ἀλλὰ τούτου μόνον στοχαζόμενος ὅπως ἀποσθλαβωθεῖσαν τὴν Ἑλληνικὴν χώραν ἀποδείξῃ πλάττεται λέξεις ἀνυπάρκτους, καὶ εἰς ἀπιθάνους ἐτυμολογίας καταφεύγει, ἀξιῶν ἔπειτα καὶ τοὺς ἄλλους τῇ αὐτοῦ αὐθεντίᾳ πιστεῦσαι, οὐδενὶ ἑτέρῳ χρώμενος ἱστορικῷ μαρτυρίῳ ἢ τούτῳ, αὐτὸς ἔφα. Οἷον τὸ ἔτυμον τῆς λέξεως Μορέας[7]*) ἀναζητῶν εὑρίσκει αὐτὸ ἐν τῇ σλαβικῇ ῥίζῃ* more, *ἣ θάλασσαν ἐν τῇ σλαβικῇ γλώσσῃ σημαίνει. Κατὰ τὴν ἐτυμολογίαν οὖν τοῦ Φαλλμεραϋέρου ἡ Πελοπόννησος ὠνομάσθη Μορέας, διότι αὕτη χερσόνησος οὖσα περικλύζεται ὑπὸ τῆς θαλάσσης. Ἀλλὰ πῶς ἡ λέξις* more (*θάλασσα*) *ἐν τῇ λέξει Μορέας χερσόνησον σημαίνειν δύναται; ἁπάσας τὰς χερσονήσους οἱ Σλάβοι Μορέας καλοῦσιν; ἢ ἐκ*

---

7) Fallmerayer, Prof. J. Phil., Geschichte Morea's. *Μέρ.* 1. *ὅρα σελ.* 248 *καὶ ἑξῆς.*

τίνος ἱστορικοῦ συγγραφέως λαμβάνων ὁ Φαλλμεραΰερος, ὅτι ὑπὸ τῶν Σλάβων ἡ Πελοπόννησος Μορέας ἐκλήθη, οὕτω σφόδρα ἀπισχυρίζεται μηδεμίαν ἄλλην ἢ ταύτην εἶναι τὴν ὀρθὴν τῆς λέξεως ἐτυμολογίαν; Ἀλλ' ὁ Φαλλμεραΰερος πάσης καταφρονῶν ἱστορικῆς μαρτυρίας, καὶ τῇ ἑαυτοῦ πεποιθὼς αὐθεντίᾳ οὐδενὸς τούτων φροντίζει, ἀλλ' ὡς ἀπὸ Πυθωνικοῦ τρίποδος, οὐδὲν ὀκνῶν, οὕτως ἀποφαίνεται. Τὴν Πελοπόννησον ἐπὶ πολὺν χρόνον σλαβικὴν εἶναι χώραν, εἰκὸς ἄρα ταύτην σλαβικὸν ἐσχηκέναι ὄνομα, τὸν Μορέαν ἄρα σλαβικὴν εἶναι λέξιν[8]) ἐν τῷ αὐτῷ φαύλῳ τοῦ συλλογισμοῦ κύκλῳ περιστρεφόμενος, ἐν ᾧ καὶ ὅτε ἀλλαχοῦ περὶ τῶν τῆς Πελοποννήσου κατοίκων τὸν λόγον ποιούμενος, διατείνεται, Σλάβους εἶναι τοὺς οἰκοῦντας διὰ τὸ Σλαβικὰ εἶναι τὰ ὀνόματα. Θαυμάσιος δὲ καὶ μάλα δοκεῖ ἡμῖν ὁ Φαλλμεραΰερος, ὅτε πᾶσαν ἄλλην τῆς λέξεως ἀπορρίπτων ἐτυμολογίαν καὶ Σαρδώνιον ἀνακαγχάζων γέλωτα χλευάζει τοὺς ἐκ τῆς λέξεως μορέας παράγοντας τὸ ὄνομα Μορέας· οὗτος μὲν γὰρ δι' οὐδὲν ἄλλο ἀξιοῖ τὸ Μορέας σλαβικὴν ἔχειν τὴν ἀρχὴν ἢ διότι ἡ ῥίζα more, θάλασσαν σημαίνουσα καὶ σλαβικὴ οὖσα, ὡς αὐτός φησι, χερσόνησον δηλοῖ, ὑπὸ θαλάσσης περιβρεχομένην· ἀλλὰ

8) Die Abstammung der Griechen und die Irrthümer und Täuschungen des Dr. Ph. Fallmerayer von J. Bar. OW. ὅρα σελ. 81.

πῶς ταῦτα οὕτως ἔχει, οὐδέν, ὡς ἡμῖν δοκεῖ, διασαφεῖ. Ἐκεῖνοι δέ, ἵνα τὰς ἄλλας παραλείψωμεν ἐτυμολογίας[9]) τοῦτό γε πιθανώτερον λέγουσιν, ἰσχυριζόμενοι, τὴν Πελοπόννησον Μορέαν ἀπὸ τοῦ δένδρου μορέας κεκλῆσθαι διὰ τὸ καὶ πρότερον καὶ νῦν τοῦ δένδρου τούτου τὴν χερσόνησον βρύειν. Καὶ γὰρ ἡ κατάληξις ας ἐν τῇ καθ' ἡμᾶς τῶν Ἑλλήνων γλώσσῃ ἀφθονίας δηλωτική ἐστι τοῦ ἐν τῇ ῥίζῃ τοῦ ὀνόματος ἐμφαινομένου πράγματος· οἷον Κοτρωνᾶς δηλοῖ τόπον, ἀφθονίαν πετρῶν ἔχοντα· ὡσαύτως καὶ τὰ μυταρᾶς, κεφαλᾶς, κοιλαρᾶς κατὰ τὴν αὐτὴν ἐσχημάτισται ἀναλογίαν.[10]) Ὅτι δὲ πλῆθος ἄμετρον μορεῶν ἢ συκαμινεῶν καὶ πρότερον καὶ νῦν ὑπάρχει, καὶ ὅτι ἐκ τῶν φύλλων τῶν ἀπὸ τῶν δένδρων τούτων βόμβυκας οἱ κάτοικοι τρέφουσι, καὶ πολλὰ αὐτοῖς ἐκ τούτου χρήματα γίγνεται τοῖς πᾶσι γνωστόν[11]). Κατὰ ταῦτα ἄπορον ἡμῖν δοκεῖ πῶς ὁ Φαλλμεραΰερος καταγέλαστον καὶ τὸ παράπαν ἀπορριπτέαν νομίζει τὴν ἀπὸ τοῦ ὁμωνύμου δένδρου ἐτυμολογίαν τοῦ ὀνόματος Μορέου, τοσούτῳ μᾶλλον ὅσῳ φαίνεται παντάπασιν ἐπιλαθόμενος, ὅτι καὶ τὰ παρὰ τοῖς ἀρχαίοις ὀνόματα Μαραθών,

---

9) Geschichte Griechenlands von Johann Wilhelm Zinkeisen, Leipzig 1832. ὅρα 1. Μέρος σελ. 837. καὶ OW. σελ. 78.

10) Ὅρα OW. σελ. 79.

11) Reise in Griechenland von F. P. Greverus. ορα σελ. 328.

νεκροῦ ἀκολουθοῦντες. Τὸ περίδειπνον τοῦτο νῦν παραμυθίαν ἢ παρηγορίαν ἐν πολλοῖς τοῖς Ἑλλάδος ὀνομάζουσιν, ἐπεὶ ἐν αὐτῷ τὴν τῶν συγγενῶν τοῦ ἀποθανόντος λύπην παραμυθητικοῖς λόγοις ἀνακουφίσαι πειρῶνται· τὸ αὐτὸ δὲ ἐνιαχοῦ καὶ μακαρία λέγεται, ἅτε ἐπὶ τῷ τετελευτηκότι, ὃς μακαρίτης καλεῖται, γιγνόμενον. Ὅτι δὲ πάντα ταῦτα καὶ τὸ πάλαι ὁμοίως καὶ ἀπαραλλάκτως παρὰ τὸ περίδειπνον ἐγίγνετο λέγει Λουκιανὸς ἐν τῷ περὶ Πένθους[14]). „Ἐπὶ πᾶσι τούτοις, φησί, τὸ περίδειπνον, καὶ πάρεισιν οἱ προσήκοντες, καὶ τοὺς γονέας παραμυθοῦνται τοῦ τετελευτηκότος, καὶ πείθουσι γεύσασθαι, ὡς οὐκ ἀηδῶς μὰ Δί᾽, οὐδ᾽ αὐτοὺς ἀναγκαζομένους, ἀλλ᾽ ἤδη ὑπὸ λιμοῦ τριῶν ἑξῆς ἡμερῶν ἀπηυδηκότας· καί, μέχρι μὲν τίνος, ὦ οὗτος, ὀδυρόμεθα; ἔασον ἀναπαύσασθαι τοὺς τοῦ μακαρίτου δαίμονας· εἰ δὲ καὶ τὸ παράπαν κλάειν διέγνωκας αὐτοῦ γε τούτου ἕνεκα χρὴ μὴ ἀπόσιτον εἶναι, ἵνα καὶ διαρκέσῃς πρὸς τοῦ πένθους τὸ μέγεθος.“

Ἔθος δὲ κοινὸν ἐν πάσῃ τῇ Ἑλλάδι καὶ τόδε ἐστίν, ὅπερ, ὡς ἐγῷμαι, ἐκ παλαιοῦ τὴν ἀρχὴν ἔχει· ὅτι δῆλα δὴ εἰώθασι τὸν νεκρὸν πρὸ τοῦ Ἡλίου δύνοντος ἐκφέρειν, καὶ τὸν ἀποθανόντα καλῶς κεκοσμημένον, καὶ δακτύλιον ἔχοντα θάπτειν. Τὰς δὲ στήλας τῶν τάφων

14) Λουκ. Περὶ πένθ. 24.

καὶ νῦν ἔτι ἄνθεσι στεφανοῦσι καὶ τοῖς τάφοις σπένδοντες τοῖς νεκροῖς ἐναγίζουσιν, ὡς καὶ πάλαι τοῦτο οἱ ἀρχαῖοι, χοὰς ἐπὶ τῶν τάφων τελοῦντες ἐποίουν· ἐν γὰρ τῇ ἐμῇ πατρίδι αὐτὸς εἶδον οἶνον ἐπὶ τοῦ τάφου σπένδοντας. Πάνυ δὲ ἀρχαῖον δοκεῖ μοι εἶναι καὶ τὸ τῇ τρίτῃ καὶ ἐννάτῃ[15]) ἀπὸ τοῦ θανάτου τοῦ τετελευτηκότος εἰς τὸν τάφον τοὺς οἰκείους ἔρχεσθαι καὶ ἑψητοὺς σίτους, ἃ νῦν κόλλυβα[16]) καλοῦσι, τοῖς ἐκεῖ παροῦσι διανέμειν, ἀντὶ τοῦ τῶν ἀρχαίων Μελικράτου ἐκ μέλιτος καὶ γάλακτος συγκειμένου[17]). Καὶ ταῦτα μὲν περὶ τῶν τοῖς νεκροῖς νομιζομένων· ἔστι δὲ καὶ ἄλλα πλείω τούτων, ἃ εὕροι τις ἂν περὶ τὰς ταφὰς καὶ κηδείας τῶν νεκρῶν ἔτι καὶ νῦν ἐν Ἑλλάδι τελούμενα[18]). Νῦν δὲ βραχέα τινὰ καὶ περὶ τῶν ἐν τοῖς γάμοις ἐθιζομένων εἴπωμεν.

---

15) Ἰσαῖος περὶ τοῦ Κίρ. κλήρου 8, 55: „Καὶ τὰ ἔνατα, ὡς οἷόν τε κάλλιστα παρασκευάσας.“ καὶ περὶ τοῦ Μενεκλ. κλήρου 2, 46: „Καὶ ὡς ἔθαψά τ' ἐγὼ αὐτὸν καὶ τὰ τρίτα καὶ τὰ ἔνατα ἐποίησα καὶ τἄλλα τὰ περὶ τὴν ταφήν.“

16) Ὅρα Wachsmuth σελ. 122—124.

17) Griechische Alterthümer von G. F. Schoemann. Berlin 1855—1859. ὅρα τόμ. 2. σελ. 506.

18) Ὅρα Wachsmuth σελ. 19 καὶ ἑξῆς· καὶ σελ. 105. καὶ ἑξῆς. Ἡ βίβλος αὕτη ὑπεδείχθη ἡμῖν ὑπό τινος τῶν ἐνταῦθα πεπαιδευμένων καθηγητῶν, ᾧ πολλὴν τὴν χάριν ἔχομεν, ὅτε τήνδε τὴν πραγματείαν ἐπεράναμεν, καὶ διὰ τοῦτο χωρία τινὰ μόνον μνημονεύομεν.

θαρῶς ἑλληνικὴν λέξιν περιβόλιον πληθυντικ. περιβόλια, τόπον δηλοῦσαν σήμερον περιβόλῳ πεφραγμένον, καὶ παντοίοις ὀπωροφόροις δένδροις κατάφυτον ὁ καλὸς κἀγαθὸς Φαλλμεραΰερος ἀπὸ δύω σλαβικῶν λέξεων ταύτην συγκεῖσθαι οἴεται, τῆς pole, polje πληθυντικ. polia καὶ peri ἢ perie, ταύτης μὲν κάλαμον ἐκείνης δὲ πεδίον σημαινούσης [17]).

Κατὰ τὸν συνήθη δ' αὐτῷ τρόπον καὶ ὀνόματα πόλεών τινων καὶ κωμῶν διὰ τὸ ἔχειν ἐν τέλει κατάληξιν ιστα ἢ ιτσα [18]) οὐ παρὰ Ξενοφῶντι καὶ Δημοσθένει ἀναγινωσκομένην σλαβικὰ ὑπολαμβάνει, ὡς τῆς καταλήξεως ταύτης σλαβικῆς οὔσης· ἀλλ' ὅτι ἡ κατάληξις ιτσα φαίνεται μᾶλλον ἑλληνική, κατὰ παραφθοράν, ἐκ τῆς ἀρχαίας ὑποκοριστικῆς ισκη προελθοῦσα, δῆλον ἂν ἐκ τῶνδε γένοιτο· οἱ γὰρ νῦν Ἕλληνες λέξεσί τισι τῶν ἀρχαίων ὑποκορίζεσθαι βουλόμενοι τὴν κατάληξιν ιτσα προστιθέασι, [19]) τὸ σκ εἰς τσ παραφθείροντες· οἷον συχνῶς λέγουσι κορίτσα, Ἑλενίτσα, μητερίτσα, πετρίτσα, ψυχίτσα, ψυχρίτσα, καρδίτσα, καὶ ἄλλα πολλά, εἰ μή τις καὶ ταῦτα Σλαβικὰ ποιῆσαι βού-

---

17) Fallmerayer, Prof. J. Phil., Geschichte Morea's. ὅρα 1. Μέρ. σελ. 284.

18) Ὅρα αὐτόθι 1. Μέρ. σελ. 250.

19) Οἱ νῦν Ἕλληνες ἐν πολλοῖς τῶν πρωτοκλίτων ὀνομάτων, Δωρίζοντες α ἀντὶ η χρῶνται, οἷον κούπα ἀντὶ κούπη (κύπη).

τὴν νύμφην ἐπὶ τοῦ προσώπου ἔχουσαν εἴς τε τὸν Ναὸν καὶ τὴν τοῦ γαμβροῦ οἰκίαν ἔρχεσθαι, ὅτε οἱ συγγενεῖς, ἐνιαχοῦ δὲ αὐτὸς ὁ γαμβρὸς πρὸ τῆς νύμφης, ἐν τῇ ὁδῷ, καρπούς,[3]) ἐν οἷς καὶ μικρὰ νομισμάτια ἀντὶ τῶν τραγημάτων ἢ καταχυσμάτων[4]) τῶν ἀρχαίων διασκορπίζουσι, σημεῖον τοῦτο εἶναι ὑπολαμβάνοντες μακροβιότητος καὶ εὐτυχίας τοῦ νέου αὐτῶν βίου κατ' ἀρχαιοτάτην τῶν Ἑλλήνων δόξαν. Ὡς δὲ πάλαι οὕτω καὶ νῦν ἡ νύμφη ἀπὸ κεφαλῆς μέχρι ποδῶν κεκαλυμμένη καθ' ὅλην τὴν τοῦ γάμου ἡμέραν ἀπόσιτος διατελεῖ, πόλεών τινων ἐξαιρουμένων, εἰς ἃς ὁ Εὐρωπαϊκὸς λεγόμενος πολιτισμὸς εἰσήχθη, ἔνθα οἱ κάτοικοι καὶ τοῦτο, ὡς καὶ πολλὰ ἄλλα τῶν παλαιῶν ἐθίσματα ἐν ὀλιγωρίᾳ ποιοῦνται. Καὶ τοῦτο δὲ οὐκ ἐν σιγῇ δεῖ παρελθεῖν, ὅτι καὶ νῦν τῇ τρίτῃ τοῦ γάμου ἡμέρᾳ οἱ συγγενεῖς καὶ οἰκεῖοι φίλοι δῶρα τοῖς νεονύμφοις προσφέρουσιν, ἃ ἀπαύλια, ἐπαύλια ἢ ἀνακαλυπτήρια ὑπὸ τῶν ἀρχαίων ἐκαλοῦντο[5]). Κατ' ἀρ-

---

3) Ὅρα Wachsmuth σελ. 91—92.

4) Ὅρα Σουΐδ. ἐν λ. Καταχύσματα.

5) Ἡσύχ. „Ἀνακαλυπτήριον ὅτε τὴν νύμφην πρῶτον ἐξάγουσι τῇ τρίτῃ ἡμέρᾳ.“ ὅρα καὶ Ἁρποκρ. „Ἀνακαλυπτήρια, δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων καὶ φίλων ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται.“

θαρῶς ἑλληνικὴν λέξιν περιβόλιον πληθυντικ. περιβόλια, τόπον δηλοῦσαν σήμερον περιβόλῳ πεφραγμένον, καὶ παντοίοις ὀπωροφόροις δένδροις κατάφυτον ὁ καλὸς κἀγαθὸς Φαλλμεραΰερος ἀπὸ δύω σλαβικῶν λέξεων ταύτην συγκεῖσθαι οἴεται, τῆς pole, polje πληθυντικ. polia καὶ peri ἢ perie, ταύτης μὲν κάλαμον ἐκείνης δὲ πεδίον σημαινούσης [17]).

Κατὰ τὸν συνήθη δ' αὐτῷ τρόπον καὶ ὀνόματα πόλεών τινων καὶ κωμῶν διὰ τὸ ἔχειν ἐν τέλει κατάληξιν ιστα ἢ ιτσα [18]) οὐ παρὰ Ξενοφῶντι καὶ Δημοσθένει ἀναγινωσκομένην σλαβικὰ ὑπολαμβάνει, ὡς τῆς καταλήξεως ταύτης σλαβικῆς οὔσης· ἀλλ' ὅτι ἡ κατάληξις ιτσα φαίνεται μᾶλλον ἑλληνική, κατὰ παραφθοράν, ἐκ τῆς ἀρχαίας ὑποκοριστικῆς ισκη προελθοῦσα, δῆλον ἂν ἐκ τῶνδε γένοιτο· οἱ γὰρ νῦν Ἕλληνες λέξεσί τισι τῶν ἀρχαίων ὑποκορίζεσθαι βουλόμενοι τὴν κατάληξιν ιτσα προστιθέασι, [19]) τὸ σκ εἰς τσ παραφθείροντες· οἷον συχνῶς λέγουσι κορίτσα, Ἑλενίτσα, μητερίτσα, πετρίτσα, ψυχίτσα, ψυχρίτσα, καρδίτσα, καὶ ἄλλα πολλά, εἰ μή τις καὶ ταῦτα Σλαβικὰ ποιῆσαι βού-

---

17) Fallmerayer, Prof. J. Phil., Geschichte Morea's. ὅρα 1. Μέρ. σελ. 284.

18) Ὅρα αὐτόθι 1. Μέρ. σελ. 250.

19) Οἱ νῦν Ἕλληνες ἐν πολλοῖς τῶν πρωτοκλίτων ὀνομάτων, Δωρίζοντες α ἀντὶ η χρῶ [illegible] (κόπη).

λεται. Τὸν λόγον δὲ ἡμῶν τοῦτον, ὅτι οὐ σλαβικὴν ἔχει τὴν ἀρχὴν ἡ τοιαύτη κατάληξις ἐπιβεβαιοῖ καὶ Κεδρηνός, ἱστορῶν, ὅτι τὸν τοῦ βασιλέως Μιχαὴλ καὶ τοῦ Βάρδα τοῦ Καίσαρος συγγενῆ Θεόφιλον, ὑποκοριζόμενοι, διὰ τὸ μικρὸν τῆς ἡλικίας Θεοφιλίτσην ἐκάλουν· ταύτην δὲ οὐδὲν ἄλλο εἶναι ἢ παραφθορὰν τῆς ἀρχαίας ὑποκοριστικῆς ισκη ἢ ισκος οὐδεὶς ἄν, οἶμαι, ἀμφισβητήσειεν, εἰ μὴ διισχυρίσαιτο, ὅτι ἐν τῷ τότε χρόνῳ Σλαβιστὶ οἱ ἄνθρωποι ἐν Κωνσταντινουπόλει ἐφθέγγοντο.

Περὶ δὲ τῶν ἄλλων ὀνομάτων, ἅπερ, ὡς τὰ εἰρημένα, εἴτε ἀγνοῶν, εἴτε προκατειλημμένος ὁ Φαλλμεραΰερος ἐκσλαβίσαι βούλεται, περὶ τούτων ἁπάντων ἀπόχρη μοι τὸ ὑπὸ Ον[20]) *προμνημονευθὲν σύγγραμμα τοῖς πολυπράγμοσιν ὑποδεῖξαι, ἐν ᾧ ὁ συγγραφεὺς ἐκ δύω καὶ πεντακοσίων ὀνομάτων πόλεων καὶ κωμῶν, ἔν τε τῇ Πελοποννήσῳ καὶ Ἀττικῇ, ἑκκαίδεκα μὲν καὶ τετρακόσια εὑρίσκει Ἑλληνικά, δύω δὲ καὶ τριάκοντα Ῥωμαϊκά, δύω δὲ καὶ τεσσαράκοντα Τουρκικά, ἕνδεκα δὲ Ἀλβανικά, ἓν δὲ καὶ μόνον Σλαβικόν.*

Ταῦτα μὲν οὖν ἱκανῶς μοι δοκεῖ, πρὸς Φαλλμεραΰερον εἰρῆσθαι· νῦν δὲ ἐπὶ τὸν περὶ ἐθῶν καὶ γλώσσης λόγον μεταβαίνομεν, ἵνα καὶ ἐκ τούτων, ὡς ἐκ τῶν

---

20) Ον. *ὅρα σελ.* 44—70.

καταβαυκαλήσεις λεγόμενα, οὕτω καὶ νῦν αἱ μητέρες ἐν Ἑλλάδι ποιοῦσι, καὶ ὅμοια πρὸς τὰ ὑπὸ Θεοκρίτου [14])

„Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον
Εὕδετ' ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα
Ὄλβιοι εὐνάζοισθε καὶ ὄλβιοι ἀῶ ἵδοιτε.“

λεγόμενα ᾄδουσιν, οἷα τὰ κοιμήσου τὸ παιδί μου, κοιμήσου τό παιδάκι μ', καὶ πάλι σήκου 'μάτια μου κ. τ. λ. Οτε δὲ τὰ παιδία οὐ διαλείπουσι κλαυθμυρίζοντα, αἱ μητέρες τῷ ὀνόματι τεραστίων τινῶν ὄντων ταῦτα ἀπειλοῦσι Μομόλα, Λάμια [15]) καὶ τὰ τοιαῦτα λέγουσαι· οὐχ ἥκιστα δὲ φοβερὸν τοῖς παιδίοις καὶ νῦν τὸ τῆς Λαμίας ὄνομά ἐστιν· αἱ γὰρ μητέρες ὅτε τοῖς ἑαυτῶν τέκνοις, οὐκ ἡσυχίαν ἄγουσιν, ἀπειλῆσαι βούλονται, σίγα, λέγουσι, μή, ἐλθοῦσα ἡ Λάμια, καταφάγῃ σε. Ὡς δ' αὖ παρὰ τοῖς ἀρχαίοις [16]) οὕτω καὶ νῦν αἱ γρᾶες, ἐν ὥρᾳ μάλιστα χειμῶνος, πολλοὺς καὶ ποικίλους μύθους τοῖς παισὶ διηγοῦνται, παραμύθια νῦν λεγόμενα, καὶ παραποιήσεις τῶν ἀρχαίων μύθων ὄντα [17])· καὶ τοτὲ μὲν ἡδεῖς καὶ ἐπαγωγοὺς μύθους τοῖς παι-

---

14) Θεόκρ. Εἰδύλ. 24, 7.

15) Ὅρα Wachsmuth σελ. 30 καὶ ἑξῆς.

16) Πλάτ. Πολιτ. 2, 378Δ. “ὥσπερ ταῖς γραυσὶ ταῖς τοὺς μύθους λεγούσαις.“

17) Wachsmuth σελ. 17 καὶ ἑξῆς.

δίοις διηγοῦνται, ἄλλοτε δὲ τερατώδεις καὶ φοβερούς, ὅτε ταῦτα ἀπὸ κακοῦ τινος ἀποτρέψαι βούλονται, ὡς καὶ Στράβων[18] *λέγει περὶ τῶν παλαιῶν.“ Τοῖς τε γὰρ παισί, φησι, προσφέρομεν τοὺς ἡδεῖς μύθους εἰς προτοπήν, εἰς ἀποτροπὴν δὲ τοὺς φοβερούς· ἥ τε γὰρ Λάμια μῦθός ἐστι καὶ ἡ Γοργὼ καὶ ὁ Ἐφιάλτης καὶ ἡ Μορμολύκη.“ Ὅτι δὲ τὰ τοιαῦτα ὀνόματα φοβερὰ τοῖς παιδίοις ἦσαν δῆλον ἐκ τοῦ Ξενοφῶντος*[19]*, λέγοντος „ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστάς, ὥσπερ μορμῶνας παιδάρια.“*

Γ΄. Περὶ παιδιῶν.

Καὶ αἱ παρὰ τοῖς ἀρχαίοις τῶν μειρακίων παιδιαὶ καὶ παίγνια καὶ νῦν ἔτι κοινῶς καὶ πανταχοῦ τῆς Ἑλλάδος γίγνονται. Πανταχοῦ γὰρ καὶ ἐν πόλεσι καὶ ἐν κώμαις ὁρᾷ τις παῖδας καὶ ἐφήβους παιδιᾶς χάριν παλαίοντας, τὸν δίσκον βάλλοντας, ὅπερ κοινῶς ῥίπτω τὸ λιθάρι λέγεται[1]*, καὶ ἐν τῷ δρόμῳ καὶ τῷ θεῖν πρὸς ἀλλήλους ἁμιλλωμένους, ὅστις τὸν ἕτερον παρελεύσεται. Ὡσαύτως συχνότατόν ἐστι καὶ τὸ ἅλμα τὸ οὕτω*

---

18) *Στράβ.* 1, 2.
19) *Ξενοφ. Ἑλλην.* 44, 17.
1) *Ὅρα* Wachsmuth *σελ.* 21 *καὶ* 51

τοῖς ἐφήβοις τερπνὸν ἐαρινόν τε καὶ θερινὸν ἀγώνισμα. Πολλὰ δὲ καὶ ἄλλα παίγνια καὶ ἀθύρματα, ἃ νῦν ἐν Ἑλλάδι παίζουσιν οἱ παῖδες ὁμοίως ἀρχαῖά ἐστιν· οἷον τὸ ἐπὶ ξύλων καὶ καλάμων ἱππεύειν συχνότατόν ἐστι τοῖς παιδίοις παίγνιον, ὡς καὶ παρὰ τοῖς ἀρχαίοις κατὰ Αἰλιανὸν[2]) καὶ Πλούταρχον[3]) περὶ τοῦ Ἀγησιλάου τὸν λόγον ποιουμένους.

Ἀρχαῖα ὡσαύτως ἐστί, καὶ ὁμοίῳ ὡς ἐπὶ τὸ πολὺ τρόπῳ παίζονται καὶ νῦν ἔτι πολλὰ παίγνια, ὅπως καὶ ὑπὸ τοῦ Πολυδεύκους[4]) περιγράφονται ταῦτα ὑπὸ τῶν ἀρχαίων παιζόμενα. Ἀπόχρη δὲ ἀντὶ πάντων τῶν ἑξῆς μνημονεῦσαι. Τὸ τῶν ἀρχαίων πλινθίον καὶ τὸν τούτῳ ὅμοιον διαγραμμισμόν, ἐννιάδα κοινῶς καλούμενον, καὶ οἱ καθ' ἡμᾶς Ἕλληνες πιθανῶς, ὅπως καὶ οἱ ἀρχαῖοι παίζουσι. Ψήφους δῆλα δὴ ἑτεροχρόους ἐντὸς ἐσχηματισμένων τετραγώνων θέντες, ἑκάτερος τὰς τοῦ ἑτέρου ἀποκλεῖσαι πειρᾶται[5]). Ὡσαύτως τὸ τερ-

---

2) *Αἰλ. Ποικίλ. Ἱστορ.* 12, 15. „*Ἀγησίλαος δὲ κάλαμον περιβάς, ἵππευε μετὰ τοῦ υἱοῦ παιδὸς ὄντος.*"

3) *Πλούτ. ἐν β. Ἀγησιλάου.* 25.

4) *Πολυδεύκ. Ὀνομ.* 9, 94 *καὶ ἑξῆς.*

5) *Πολυδ. Ὀνομ.* 9, 98. „*Ἡ δὲ διὰ πολλῶν ψήφων παιδιὰ πλινθίον ἐστὶ χώρας ἐν γραμμαῖς ἔχον διακειμένας· τὸ μὲν πλινθίον καλεῖται πόλις, τῶν δὲ ψήφων ἑκάστη κύων· διῃρημένων δὲ εἰς δύο τῶν ψήφων ὁμοχρόων κατὰ τὰς χρόας ἡ τέχνη τῆς παιδιᾶς ἐστι περιλήψει τῶν δύο ψήφων ὁμοχρόων τὴν ἑτερόχρουν ἀναιρεῖν.*"

πνότατον τοῖς παιδίοις παίγνιον, κυβεία ἢ ἀστραγαλισμός, σώζεται πανταχοῦ τῆς Ἑλλάδος ἔτι καὶ νῦν 6), καὶ τοῦτον παίζουσιν οἱ τῶν νῦν Ἑλλήνων παῖδες, ὡς ἴσως καὶ οἱ πάλαι. Τὴν δὲ τρόπαν παίζουσιν ὅπως ὁ Πολυδεύκης 7) λέγει· „Ἡ δέ, φησι, τρόπα καλουμένη παιδιὰ γίνεται μὲν ὡς τὸ πολὺ δι' ἀστραγάλων, οὓς ἀφιέντες στοχάζονται βόθρου τινὸς εἰς ὑποδοχὴν τῆς τοιαύτης ῥίψεως, ἐξεπίτηδες πεποιημένου, πολλάκις δὲ καὶ ἀκύλοις καὶ βαλάνοις, ἀντὶ τῶν ἀστραγάλων οἱ ῥίπτοντες ἐχρῶντο.“ Καὶ τὸ πεντάλιθον δὲ καὶ νῦν ἔτι παίζουσι, τοὺς πέντε λίθους, οὓς ἐπὶ τοῦ ἔξω τῆς χειρὸς ἔχουσιν, ἀναβάλλοντες, τῇ παλάμῃ τῆς ἰδίας αὖθις ὑποδέχονται 8). Καὶ τὴν τῶν ἀρχαίων δ' ὡσαύτως χαλκῆν μυῖαν ἢ μυΐνδαν ἔτι καὶ νῦν παίζουσι ταινίᾳ τοὺς ὀφθαλμοὺς ἑνὸς παιδὸς περισφίγγοντες· οὗτος μὲν οὖν περιφέρεται μέχρι ἄν τινα τῶν συμπαιζόντων τῇ χειρὶ συλλάβῃ, χαλκῆν μυῖαν θηρεύσω

---

6) Reisen und Forschungen in Griechenland von H. N. Ulrichs. Bremen 1840. ὅρα Μέρ. 1. σελ. 137.

7) Πολυδ. Ὀνομ. 9, 103.

8) Πολυδ. Ὀνομ. 9, 126. „Τὰ δὲ πεντάλιθα, ἤτοι λιθίδια ἢ ψῆφοι ἢ ἀστράγαλοι πέντε ἀνερριπτοῦντο, ὥστ' ἐπιστρέψαντα τὴν χεῖρα δέξασθαι τὰ ἀναρριφθέντα κατὰ τὸ ὀπισθέναρ, ἢ εἰ μὴ πάντα ἐπισταίη, τῶν ἐπιστάντων ἐπικειμένων ἀναιρεῖσθαι τὰ λοιπὰ τοῖς δακτύλοις.“

φωνῶν, οἱ δὲ ἄλλοι τῇ χειρὶ αὐτὸν παίουσιν ἀπωκρινόμενοι, θηρεύσεις ἀλλ' οὐ λήψῃ. Καὶ ὁ κολλαβισμὸς δὲ νῦν ὁμοίως γίγνεται ὅπως καὶ Πολυδεύκης[9] *διηγεῖται· „Τὸ δὲ κολλαβίζειν, λέγει, ἐστίν, ὅταν ὁ μὲν πλατείαις ταῖς χερσὶ τὰς ὄψεις ἐπιλάβῃ τὰς ἑαυτοῦ, ὁ δὲ παίσας ἐπερωτᾷ ποτέρᾳ τετύπτηκε.“ Ταύτας οὖν ἀμφοτέρας τὰς παιδιὰς ἀρχαίας οὔσας καὶ νῦν παίζουσιν οἱ παῖδες ἐν Ἑλλάδι, ᾧ τρόπῳ καὶ τὸ πάλαι. Καὶ ὁ ἀρτιασμὸς δὲ τῶν παλαιῶν, ἤτοι τὸ περὶ ἀρτίων καὶ περιττῶν ἐρωτᾶν μέχρι τοῦ νῦν διασέσωσται· οἱ γὰρ τῶν νῦν Ἑλλήνων παῖδες κυάμων ἢ ἄλλων τοιούτων κόκκων δραττόμενοι ἐρωτῶσι μονὰ ἢ ζυγά*[10]*· καὶ ἢν μὲν ὁ ἕτερος τούτων ἀποκρινόμενος ἐπιτύχῃ, λαμβάνει τὰ ἐν τῇ χειρί, εἰ δὲ μή, ἀποτίνει τὰ ἴσα. Καὶ ἕτερον δὲ παίγνιον συχνότατον καὶ τερπνότατον τοῖς παισίν ἐστιν τὸ ὑπὸ τῶν ἀρχαίων μηλολόνθη καλούμενον, ὅπερ ὧδε παίζουσι· κανθάρους καὶ ἄλλα τοιαῦτα ζωΰφια ἢ ἔντομα νήματι ἐκ τῶν ποδῶν δεσμεύοντες οἱ παῖδες κύκλῳ περιστρέφουσιν, ἀμύθητον ὅσον τῇ ἀπὸ τοῦ βόμβου κατακηλούμενοι ἡδονῇ.*

Περάναντες ἐνταῦθα τὸν περὶ παιδιῶν λόγον οὐκ ἄτοπόν μοι δοκεῖ πρὸς τούτοις ἑξῆς βραχέα ἄττα καὶ

---

9) *Πολυδ. Ὀνομ.* 9, 129.

10) Charicles von Becker. *Ὅρα Μέρ.* 1. *σελ.* 487.

πνότατον τοῖς παιδίοις παίγνιον, κυβεία ἢ ἀστραγαλισμός, σώζεται πανταχοῦ τῆς Ἑλλάδος ἔτι καὶ νῦν[6]), καὶ τοῦτον παίζουσιν οἱ τῶν νῦν Ἑλλήνων παῖδες, ὡς ἴσως καὶ οἱ πάλαι. Τὴν δὲ τρόπαν παίζουσιν ὅπως ὁ Πολυδεύκης[7]) λέγει· „Ἡ δέ, φησι, τρόπα καλουμένη παιδιὰ γίνεται μὲν ὡς τὸ πολὺ δι᾽ ἀστραγάλων, οὓς ἀφιέντες στοχάζονται βόθρου τινὸς εἰς ὑποδοχὴν τῆς τοιαύτης ῥίψεως, ἐξεπίτηδες πεποιημένου, πολλάκις δὲ καὶ ἀκύλοις καὶ βαλάνοις, ἀντὶ τῶν ἀστραγάλων οἱ ῥίπτοντες ἐχρῶντο.“ Καὶ τὸ πεντάλιθον δὲ καὶ νῦν ἔτι παίζουσι, τοὺς πέντε λίθους, οὓς ἐπὶ τοῦ ἔξω τῆς χειρὸς ἔχουσιν, ἀναβάλλοντες, τῇ παλάμῃ τῆς ἰδίας αὖθις ὑποδέχονται[8]). Καὶ τὴν τῶν ἀρχαίων δ᾽ ὡσαύτως χαλκῆν μυῖαν ἢ μυΐνδαν ἔτι καὶ νῦν παίζουσι ταινίᾳ τοὺς ὀφθαλμοὺς ἑνὸς παιδὸς περισφίγγοντες· οὗτος μὲν οὖν περιφέρεται μέχρι ἄν τινα τῶν συμπαιζόντων τῇ χειρὶ συλλάβῃ, χαλκῆν μυῖαν θηρεύσω

---

6) Reisen und Forschungen in Griechenland von H. N. Ulrichs. Bremen 1840. ὅρα Μέρ. 1. σελ. 137.

7) Πολυδ. Ὀνομ. 9, 103.

8) Πολυδ. Ὀνομ. 9, 126. „Τὰ δὲ πεντάλιθα, ἤτοι λιθίδια ἢ ψῆφοι ἢ ἀστράγαλοι πέντε ἀνερριπτοῦντο, ὥστ᾽ ἐπιστρέψαντα τὴν χεῖρα δέξασθαι τὰ ἀναῤῥιφθέντα κατὰ τὸ ὀπισθέναρ, ἢ εἰ μὴ πάντα ἐπισταίη, τῶν ἐπιστάντων ἐπικειμένων ἀναιρεῖσθαι τὰ λοιπὰ τοῖς δακτύλοις.“

φωνῶν, οἱ δὲ ἄλλοι τῇ χειρὶ αὐτὸν παίουσιν ἀπωκρινόμενοι, θηρεύσεις ἀλλ' οὐ λήψῃ. Καὶ ὁ κολλαβισμὸς δὲ νῦν ὁμοίως γίγνεται ὅπως καὶ Πολυδεύκης[9]) *διηγεῖται· „Τὸ δὲ κολλαβίζειν, λέγει, ἐστίν, ὅταν ὁ μὲν πλατείαις ταῖς χερσὶ τὰς ὄψεις ἐπιλάβῃ τὰς ἑαυτοῦ, ὁ δὲ παίσας ἐπερωτᾷ ποτέρᾳ τετύπτηκε." Ταύτας οὖν ἀμφοτέρας τὰς παιδιὰς ἀρχαίας οὔσας καὶ νῦν παίζουσιν οἱ παῖδες ἐν Ἑλλάδι, ᾧ τρόπῳ καὶ τὸ πάλαι. Καὶ ὁ ἀρτιασμὸς δὲ τῶν παλαιῶν, ἤτοι τὸ περὶ ἀρτίων καὶ περιττῶν ἐρωτᾶν μέχρι τοῦ νῦν διασέσωσται· οἱ γὰρ τῶν νῦν Ἑλλήνων παῖδες κυάμων ἢ ἄλλων τοιούτων κόκκων δραττόμενοι ἐρωτῶσι μονὰ ἢ ζυγά*[10])· *καὶ ἢν μὲν ὁ ἕτερος τούτων ἀποκρινόμενος ἐπιτύχῃ, λαμβάνει τὰ ἐν τῇ χειρί, εἰ δὲ μή, ἀποτίνει τὰ ἴσα. Καὶ ἕτερον δὲ παίγνιον συχνότατον καὶ τερπνότατον τοῖς παισίν ἐστιν τὸ ὑπὸ τῶν ἀρχαίων μηλολόνθη καλούμενον, ὅπερ ὧδε παίζουσι· κανθάρους καὶ ἄλλα τοιαῦτα ζωΰφια ἢ ἔντομα νήματι ἐκ τῶν ποδῶν δεσμεύοντες οἱ παῖδες κύκλῳ περιστρέφουσιν, ἀμύθητον ὅσον τῇ ἀπὸ τοῦ βόμβου κατακηλούμενοι ἡδονῇ.*

Περάναντες ἐνταῦθα τὸν περὶ παιδιῶν λόγον οὐκ ἄτοπόν μοι δοκεῖ πρὸς τούτοις ἑξῆς βραχέα ἄττα καὶ

---

9) *Πολυδ. Ὀνομ.* 9, 129.

10) Charicles von Becker. *Ὅρα Μέρ.* 1, *σελ.* 487.

περὶ Εἰρεσιώνης καὶ κληδόνος καὶ ἄλλων τινῶν εἰπεῖν, ἵνα πληρέστερος ὁ περὶ ἠθῶν καὶ ἐθῶν λόγος ἀπαρτισθῇ. Καὶ πρῶτον ἀρχόμεθα ἀπὸ τῆς Εἰρεσιώνης. Ἦν δὲ ἡ Εἰρεσιώνη κλάδος ἐλαίας ἢ δάφνης ἐξ ἐρίων πεπλεγμένος, ἀφ' οὗ ἄρτος καὶ παντοδαποὶ τῶν τῆς γῆς καρπῶν ἐξήρτηντο καὶ πρὸ τῶν οἰκημάτων οἱ παῖδες ἐτίθεσαν καὶ κατ' ἔτος ἤλλασσον[11]). Τί δὲ ἄλλο ἐστὶ τὰ ἁπανταχοῦ τῆς Ἑλλάδος τῇ πρώτῃ Μαΐου γιγνόμενα ἢ ἡ τῶν ἀρχαίων Εἰρεσιώνη; Ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ ἅπαντες οἱ καθ' ἡμᾶς Ἕλληνες τῶν οἰκιῶν ἐξερχόμενοι ἐν κήποις καὶ ἀγροῖς διατρίβουσιν, ἔνθα στεφάνους ἐκ ποικίλων ἀνθέων πλέξαντες οἴκαδε πάλιν ἐπανέρχονται, καὶ τούτους πρὸ τῶν θυρῶν τίθησι καὶ κατ' ἔτος ἀλλάσσουσιν. Ὁ δὲ κληδονισμός, ἥ τε λέξις καὶ τὸ πρᾶγμα, ἀπὸ τοῦ ἀρχαιστάτου μέχρι τῶν καθ' ἡμᾶς χρόνων διεφυλάχθη. Τῇ 23 δῆλα δὴ τοῦ μηνὸς Ἰουνίου πολλοὶ ἄγαμοι νέοι καὶ παρθένοι εἰς λάγηνον πλήρη ὕδατος ἐμβάλλουσιν ἕκαστος πρᾶγμά τι αὐτῷ ἀνῆκον καὶ ἴδιον γνώρισμα φέρον· τῇ δ' αὖ ὑστεραίᾳ, ἑορτῇ τοῦ Ἁγίου Ἰωάννου, τοῦ καὶ Κληδόνου διὰ τοῦτο καλουμένου, πάντων εἰς ταὐτὸν συνερχομένων, τῶν παρθένων τις ἢ νεανίσκων, ᾧ ἀμφότεροι οἱ γονεῖς ζῶσιν, ἐξάγει τὰ ἐν τῇ λαγήνῳ ἐμβεβλημένα· ἐν ᾧ ἔτε-

11) Σουΐδ. ἐν λ. Εἰρεσιώνη.

ρος πάλιν νέος ἢ παρθένος ἀπαγγέλλει τι δίστιχον, τὸ μέλλον προοιωνιζόμενον οἷ τὸ ἐξαγόμενον πρᾶγμά ἐστι.

Καὶ τὸ ὑπὸ τῶν ἀρχαίων τηλέφιλον καλούμενον, καθ' ὃ οἱ ἐρῶντες φύλλον μήκωνος[12]) ἢ ἄλλης τινὸς βοτάνης λαμβάνοντες ἐπὶ τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ τῆς ἀριστερᾶς εἰς κύκλον συναγομένων τιθέντες, ἐπέκρουον ἔπειτα αὐτὸ τῇ παλάμῃ τῆς δεξιᾶς, καὶ ἀπὸ τοῦ ἀποτελουμένου ψόφου ἐσημαίνοντο εἰ ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων[13]), ὁμοίως καὶ σήμερον γίγνεται κατὰ τὸν αὐτὸν τρόπον: Τοῦ δὲ τρόπου τούτου ἀκριβῆ ἔχομεν περιγραφῇ ἐν τῷ Πολυδεύκους[14]) Ὀνομαστικῷ, ἔνθα τάδε ἀναγινώσκονται. „Τὸ δὲ πλαταγώνιον οἱ ἐρῶντες ἢ αἱ ἐρῶσαι ἔπαιζον καλεῖται μὲν οὕτω καὶ τὸ κρόταλον καὶ τὸ σεῖστρον ᾧ καταβαυκαλοῦσιν αἱ τίτθαι ψυχαγαγοῦσαι τὰ δυσυπνοῦντα τῶν παιδίων· ἀλλὰ καὶ τὰ τοῦ τηλεφίλου καλουμένου φύλλα ἐπὶ τοὺς πρώτους δύω τῆς λαιᾶς δακτύλους εἰς κύκλον συμβληθέντας ἐπιθέντες τῷ κοίλῳ τῆς ἑτέρας χειρὸς

---

12) Θεοκρ. Εἰδύλ. 11, 56:

„ . . . . . ἔφερον δέ τοι ἢ κρίνα λευκὰ
„ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνἰ ἔχοισαν."

13) Θεοκρ. Εἰδύλ. 3, 28:

„Ἔγνων πρᾶν, ὄκ' ἔμοι γε μεμναμένῳ εἰ φιλέεις με
„οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
„ἀλλ' αὔτως ἁπαλῶ ποτὶ πάχεος ἐξεμαράνθη."

14) Πολυδ. Ὀνομ. 9, 127.

ἐπικρούσαντες, εἰ κτύπον ποιήσειεν εὔκροτον ὑποσχισθὲν τῇ πληγῇ τὸ φύλλον μεμνῆσθαι τοὺς ἐρωμένους αὐτῶν ὑπελάμβανον· καὶ μὴν καὶ τὸ κρίνον διπλοῦν ὂν καὶ διάκενον ἔνδοθεν ἐκφυσήσαντες ὡς ὑποπλῆσαι πνεύματος, πρὸς τὰ μέτωπα ῥηγνύντες ἐσημαίνοντο τὰ παραπλήσια τῷ κτύπῳ.“ Καὶ τὸ τελευταῖον δὲ τοῦτο ὑπὸ τοῦ Πολυδεύκους λεγόμενον περὶ τοῦ κρίνου, ὅτι τοῦτο πρὸς τὸ μέτωπον ῥηγνύντες ἐκ τοῦ κτύπου σημεῖον ἔρωτος ἢ μίσους ἐλάμβανον οὐ σπάνιον ἰδεῖν ἐν Ἑλλάδι.

Καὶ ὁ τῶν ἀρχαίων χελιδονισμός, καθ' ὅν, ὡς ὁ Ἀθήναιός [15]) φησι, τὸ πάλαι οἱ παῖδες τῶν Ῥοδίων ξυλίνην ἐν ταῖς χερσὶ φέροντες χελιδόνα, καὶ ᾀσμάτιά τινα, χελιδονίσματα ἐκ τούτου καλούμενα, ᾄδοντες ἀπὸ οἴκου εἰς οἶκον περιήρχοντο μηνὶ Βοηδρομιῶνι, καὶ νομισμάτια ἢ καρποὺς συνέλεγον διεσώζετο μέχρι χθὲς καὶ πρώην, ὡς ὁ παρ' ἡμῖν λεξικογράφος Βυζάντιος [16]) λέγει ἐν λέξει χελιδονίζω.

Καὶ τὸ παλαιὸν δὲ ἔθος νίπτεσθαι [17]) τὰς χεῖρας

---

15) Ἀθήν. 8, 360.

16) Λεξικὸν Ἐπίτομον τῆς Ἑλ. γλώσσης ὑπὸ Σκαρλάτου Δ. Βυζαντίου ἐν Ἀθήναις. καὶ Wachsmuth ὅρα σελ. 35 καὶ ἑξῆς.

17) Ὁμ. Ὀδ. Α. 136:

„Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος.“

πρὸ τοῦ φαγεῖν, καὶ δεύτερον πάλιν, ἐπειδὰν ἀπὸ τοῦ ἀρίστου ἢ δείπνου γένωνται ἀπονίπτεσθαι[18]) καὶ τοῖς νῦν Ἕλλησιν ἐμμεμένηκε. Πρὶν δὲ τὸν περὶ τοιούτων λόγον καταπαῦσαι καὶ τόδε προσθετέον ἡγοῦμαι· ὅτι ἁπανταχοῦ τῆς Ἑλλάδος οἱ καθ' ἡμᾶς Ἕλληνες ὅτε οἶνον πιεῖν μέλλουσι, τὰς κύλικας ὑψοῦ αἴροντες πρῶτον μὲν μικρὸν ἀλλήλαις συγκρούουσιν, εἶτα δὲ σπείσαντες πίνουσιν, ὃ δὴ καὶ οἱ ἀρχαιότατοι τῶν Ἑλλήνων[19]), ὥς γ' ἐμοὶ δοκεῖ, ἐποίουν.

Δ'. Περὶ δεισιδαιμονιῶν.

Ὡς δὲ πολλὰ τῶν ἀρχαίων περὶ τοὺς νεκρούς, γάμους καὶ καθόλου περὶ τὸν λοιπὸν τῶν Ἑλλήνων βίον ἔθη καὶ νόμιμα Ἑλληνικὰ μέχρι ἡμῶν διέμεινεν, οὕτω καὶ πλεῖσται τῶν ἀρχαίων Ἑλλήνων δεισιδαιμονίαι, ὡς ἐκ τῶν ἑξῆς ἀποδειχθήσεται, διεσώθησαν. Οἱ γὰρ παλαιοὶ Ἕλληνες σημεῖά τινα σπάνια καὶ θαυμαστὰ οὐ κατανοῆσαι καὶ ἑρμηνεῦσαι δυνάμενοι ἢ ἀποκλίσεις ἀπὸ τῆς φυσικῆς τῶν ὄντων πορείας ταῦτα ἐνόμιζον εἶναι, ἢ ἐπιδράσεις ὑπερφυοῦς καὶ θείας τινὸς δυνά-

---

18) Πολυδ. Ὀνομ. 6, 92.

19) Ὁμ. Ἰλ. Α. 471:

„νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν,"

ὅρα περὶ τούτου Homer's Illiade von Dr. Koch. Hannover 1868, καὶ Hom. Odys. von G. C. Crusius. Γ. 340.

δίοις διηγοῦνται, ἄλλοτε δὲ τερατώδεις καὶ φοβερούς, ὅτι ταῦτα ἀπὸ κακοῦ τινος ἀποτρέψαι βούλονται, ὡς καὶ Στράβων[18]) λέγει περὶ τῶν παλαιῶν:„ Τοῖς τε γὰρ παισί, φησι, προσφέρομεν τοὺς ἡδεῖς μύθους εἰς προτροπήν, εἰς ἀποτροπὴν δὲ τοὺς φοβερούς· ἥ τε γὰρ Λάμια μῦθός ἐστι καὶ ἡ Γοργὼ καὶ ὁ Ἐφιάλτης καὶ ἡ Μορμολύκη.“ Ὅτι δὲ τὰ τοιαῦτα ὀνόματα φοβερὰ τοῖς παιδίοις ἦσαν δῆλον ἐκ τοῦ Ξενοφῶντος[19]), λέγοντος „ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων, ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστάς, ὥσπερ μορμῶνας παιδάρια.“

Γ΄. Περὶ παιδιῶν.

Καὶ αἱ παρὰ τοῖς ἀρχαίοις τῶν μειρακίων παιδιαὶ καὶ παίγνια καὶ νῦν ἔτι κοινῶς καὶ πανταχοῦ τῆς Ἑλλάδος γίγνονται. Πανταχοῦ γὰρ καὶ ἐν πόλεσι καὶ ἐν κώμαις ὁρᾷ τις παῖδας καὶ ἐφήβους παιδιᾶς χάριν παλαίοντας, τὸν δίσκον βάλλοντας, ὅπερ κοινῶς ῥίπτω το λιθάρι λέγεται[1]), καὶ ἐν τῷ δρόμῳ καὶ τῷ θεῖν πρὸς ἀλλήλους ἁμιλλωμένους, ὅστις τὸν ἕτερον παρελεύσεται. Ὡσαύτως συχνότατόν ἐστι καὶ τὸ ἅλμα τὸ οὕτω

18) Στράβ. 1, 2.

19) Ξενοφ. Ἑλλην. 44, 17.

1) Ὅρα Wachsmuth σελ. 21 καὶ 51

μάντεις ἤρχοντο ἐρωτήσοντες εἰ αὐτοῖς προχωροίη ἐπὶ τὰ πρόσω πορευομένοις, οὕτω καὶ τῶν καθ' ἡμᾶς Ἑλλήνων οἱ δεισιδαίμονες, ὅτε ἀποδημεῖν βούλονται εἰ ἐν τῇ ὁδῷ περιτύχωσι βασκάνῳ ἀνθρώπῳ οἴκαδε ἐπανέρχονται, τῆς πορείας ἀφιστάμενοι, καὶ ἡμέραν διαλιπόντες ταύτην αὖθις τῇ ὑστεραίᾳ ἐπιβάλλονται. Κατὰ ταῦτα, καὶ ἤν τις αὐτοῖς συναντήσῃ πρωῒ τῆς οἰκίας ἀξιοῦσιν, ἴδωμεν λέγουσιν, ἣν ταύτην τὴν ἡμέραν ἡδέως καὶ ἡσύχως διαγενώμεθα. Καὶ αὐτὸς δὲ ἤκουσά ποτέ τινος, οὗ ἐν τῷ πορεύεσθαι ὁ ποῦς ἐξήρθρωτο, λέγοντος, ὡς τοῦτο αὐτῷ ξυμβαίη διὰ τὸ φθονερῷ τινι κατὰ τὴν ὁδὸν περιτυχεῖν. Δεισιδαιμονέστεροι δὲ περὶ τοῦτό εἰσιν οἱ ἐπὶ τὴν θήραν ἐξερχόμενοι· οὗτοι γὰρ ἤν τινι, ὑπ' αὐτῶν βασκάνῳ νομιζομένῳ, συναντήσωσι, παρὰ δόξαν καὶ ἐλπίδα σφίσιν οἴονται ἀποβῆναι τὴν θήραν. Ὑπὸ τοιούτων οὖν δεισιδαιμονιῶν οἱ πολλοὶ τῶν Ἑλλήνων ἔτι καὶ νῦν κατεχόμενοι εὔχονται τοῖς ἀποδημεῖν βουλομένοις καλὰς συναντήσεις (ἐνόδια σύμβολα) κατὰ παλαιὸν ἴσως ἔθος· παρὰ γὰρ Ἡροδότῳ[3]) ἀναγινώσκεται „καὶ δὴ καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο.“ Οὐ μὴν ἀλλὰ καὶ τοῖς θηρευταῖς διὰ τὴν αὐτὴν δεισιδαιμονίαν πολλὴν καὶ ἄφθο-

3) Ἡροδ. 3, 124.

νον ἄγραν ευχονται οἱ συναντῶντες, οὐκ ἀπαίσιον οὕτω σημεῖον αὐτοῖς τὸ συνάντημα γενέσθαι οἰόμενοι.

Καὶ τὸν πταρμὸν δὲ ὁμοίως τοῖς παλαιοῖς[4]) καὶ οἱ νεώτεροι καλὸν σημεῖον εἶναι δοξάζουσι· πρὸς δὲ καὶ ἤν τις πταρῇ, διηγήσεως περί τινος γιγνομένης, „ἀλήθειαν εἶπα“ ἐπιφωνεῖ ὁ διηγούμενος, κύρωσιν τῆς ἀληθείας τῶν ὑπ' αὐτοῦ λεγομένων τὸν πταρμὸν ἑρμηνεύων, ὁμοίως, ὥσπερ καὶ ἡ Πηνελόπη[5]) ἐν Ὀδυσσείᾳ ποιεῖ, τὸν πταρμὸν τοῦ υἱοῦ αὐτῆς καλὸν σημεῖον καὶ κύρωσιν τῆς ἀληθείας ὧν διηγεῖται ἐξηγουμένη „Ἔρχεό μοι, προσφωνεῖ τὸν Εὔμαιον, τὸν ξεῖνον ἐναντίον κάλεσον“

„οὐχ ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρε πᾶσι ἐπέεσι;“

Πρὸς δὲ τούτοις καὶ τὸ ἅλλεσθαι τὸν ὀφθαλμὸν οἱ καθ' ἡμᾶς Ἕλληνες, ὅπως καὶ οἱ παλαιοὶ[6]) σημεῖον εἶναι ὑπολαμβάνουσιν ἢ ὅτι τῶν συγγενῶν τινα ἢ

---

4) Πλούτ. β. Θεμιστ. 13. „Τούτους ἰδὼν ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε τὸν Θεμιστοκλέα δεξιωσάμενος, ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι.“ Ὅρα καὶ Θεοκρ. Εἰδύλ. 18, 16:

„Ὄλβιε γαμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι
„ἐς Σπάρταν . . . . . .“

5) Ὁμήρ. Ὀδ. Ρ. 543.

6) Θεοκρ. Εἰδύλ. 3, 37:

„ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
„αὐτάν, ...“

φίλων ἀποδημοῦντα ἐν βραχεῖ πάλιν ὄψεσθαι μέλλουσιν, ἢ ὅτι καινότερόν τι αὐτοῦ ἀκούσονται. Εἰ δὲ πάλιν τὰ ὠτία βομβεῖ, ὁ χύδην ἐν Ἑλλάδι ὄχλος σημεῖον τοῦτο εἶναι δοξάζουσιν ὡς αὐτῶν ἀπόντες τινὲς μέμνηνται, ὅπερ ὡσαύτως ἀρχαῖόν ἐστιν ἔθος· ὁ γὰρ Λουκιανὸς ἐν Ἑταιρικῷ διαλόγῳ[7]*) παράγει δούλην τινὰ τῶν ἑταιρῶν τῷ τῆς δεσποίνης ἐραστῇ λέγουσαν" ἦ που, ὦ Παρμένων, ἐβόμβει τὰ ὦτα ὑμῖν; ἀεὶ γὰρ ἐμέμνητο ἡ κεκτημένη μετὰ δακρύων."*

Τοὺς δὲ τῶν δοκῶν ψόφους οἱ μὲν ἀρχαῖοι Ἕλληνες κακόν τι αὐτοῖς προσημαίνοντας ἑρμήνευον[8]*), τῶν δὲ καθ' ἡμᾶς Ἑλλήνων οἱ μὲν κακόν τι ὡσαύτως σημεῖον, οἷον θάνατόν τινος τῶν συγγενῶν ὑπολαμβάνουσιν, οἱ δὲ τοὐναντίον καλόν τι σημαίνειν δοξάζουσιν· οἷον ἢ ὡς ἐπιστολὴν μετ' οὐ πολὺ κομίσονται παρὰ τοῦ ἐν ξένῃ ἀποδημοῦντος οἰκείου ἢ φίλου, ἢ ὡς αὐτὸν τοῦτον ὅσον οὔπω ἰδεῖν μέλλουσιν. Ὅπως δ' αὖ ὁ τοῦ Θεοφράστου*[9]*) δεισιδαίμων ἢν μῦς τὸν τῶν ἀλφίτων θύλακον διαφάγῃ κακὸν τοῦτο οἰωνὸν εἶναι δοξάζει, οὕτω καὶ νῦν οἱ ἐν Ἑλλάδι δεισιδαίμονες μελλούσης δυστυχίας σημεῖον εἶναι τοῦτο ἐξη-*

---

7) *Λουκ. Ἑταιρ. Διαλογ.* 9, 2.

8) Griech. Alterthümer von Schoemann. *Ὅρα τόμ.* 2. *σελ.* 262.

9) *Θεοφρ. Χαρακτ.* 16.

γοῦνται. Τὴν δὲ ἄλλην τῶν Ἑλλήνων δεισιδαιμονίαν, τὸ νομίζειν δυστυχὲς εἶναι σημεῖον τὴν ἐπὶ τοῦ ἐδάφους ἔκχυσιν ἐλαίου καὶ οἴνου[10], ἔχουσι καὶ οἱ νῦν Ἕλληνες, τούτῳ μόνον ἐκείνων διαφέροντες, ὅτι μόνον την τοῦ ἐλαίου ἔκχυσιν κακὸν εἶναι πιστεύουσι, τὴν δὲ τοῦ οἴνου καλὸν καὶ εὐτυχές.

Καὶ ἥδε δὲ ἡ δεισιδαιμονία τῶν παλαιῶν διαμένει· ὡς δῆλα δὴ παρὰ τοῖς παλαιοῖς ἦσαν ἡμέραι τινὲς ἀποφράδες, ἐν αἷς οὐκ ἦν ἐπιτετραμμένον σπουδαίοις ἐπιχειρεῖν, οἷον εἰς στρατείας ἐξιέναι, Ἐκκλησίαν ποιεῖσθαι κ. τ. λ. οὕτω καὶ νῦν ἐν ταῖς ἀποφράσιν ἡμέραις οὐδείς ποτε τῶν δεισιδαιμόνων οὔτε ἀποδημῆσαι ἀπὸ τῆς ἑαυτοῦ τολμᾷ, οὔτε γάμους ποιεῖσθαι, οὔτε ἄλλῳ τινὶ τῶν σπουδαίων ἐπιχειρεῖ, εἰς ἄλλον χρόνον ταῦτα ἀναβαλλόμενος.

Ἐνταῦθα οὐκ ἄτοπόν μοι δοκεῖ καὶ τῆςδε τῆς δεισιδαιμονίας μνημονεῦσαι· ὅτι δῆλα δὴ νῦν τῶν ἐν Ἀθήναις γυναικῶν αἱ δεισιδαιμονέστεραι ἐρχόμεναι εἰς τὰ παρὰ τὸ Νυμφίον λεῖα βράχη κατολισθαίνουσι κατ' αὐτῶν εὐτοκίας καὶ εὐτεκνίας χάριν, ὡς τοῦτο καὶ περὶ τῶν πάλαι Ἀττικῶν γυναικῶν λέγεται.

Ταῦτα μὲν οὖν, ὡς διὰ βραχέων, καὶ περὶ τῶν παρὰ τοῖς νῦν Ἕλλησι δεισιδαιμονιῶν ἐμνήσθημεν· εὖ-

---

10) Griech. Alterthümer von Schoemann. Ὅρα τόμ. 2. σελ. 262.

πρὸ τοῦ φαγεῖν, καὶ δεύτερον πάλιν, ἐπειδὰν ἀπὸ τοῦ ἀρίστου ἢ δείπνου γένωνται ἀπονίπτεσθαι[18]) καὶ τοῖς νῦν Ἕλλησιν ἐμμεμένηκε. Πρὶν δὲ τὸν περὶ τοιούτων λόγον καταπαῦσαι καὶ τόδε προσθετέον ἡγοῦμαι· ὅτι ἁπανταχοῦ τῆς Ἑλλάδος οἱ καθ' ἡμᾶς Ἕλληνες ὅτε οἶνον πιεῖν μέλλουσι, τὰς κύλικας ὑψοῦ αἴροντες πρῶτον μὲν μικρὸν ἀλλήλαις συγκρούουσιν, εἶτα δὲ σπείσαντες πίνουσιν, ὃ δὴ καὶ οἱ ἀρχαιότατοι τῶν Ἑλλήνων[19]), ὥς γ' ἐμοὶ δοκεῖ, ἐποίουν.

Δ'. Περὶ δεισιδαιμονιῶν.

Ὡς δὲ πολλὰ τῶν ἀρχαίων περὶ τοὺς νεκρούς, γάμους καὶ καθόλου περὶ τὸν λοιπὸν τῶν Ἑλλήνων βίον ἔθη καὶ νόμιμα Ἑλληνικὰ μέχρι ἡμῶν διέμεινεν, οὕτω καὶ πλεῖσται τῶν ἀρχαίων Ἑλλήνων δεισιδαιμονίαι, ὡς ἐκ τῶν ἑξῆς ἀποδειχθήσεται, διεσώθησαν. Οἱ γὰρ παλαιοὶ Ἕλληνες σημεῖά τινα σπάνια καὶ θαυμαστὰ οὐ κατανοῆσαι καὶ ἑρμηνεῦσαι δυνάμενοι ἢ ἀποκλίσεις ἀπὸ τῆς φυσικῆς τῶν ὄντων πορείας ταῦτα ἐνόμιζον εἶναι, ἢ ἐπιδράσεις ὑπερφυοῦς καὶ θείας τινὸς δυνά-

---

18) Πολυδ. Ὀνομ. 6, 92.

19) Ὁμ. Ἰλ. Α. 471:

„νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν,“

ὅρα περὶ τούτου Homer's Illiade von Dr. Koch. Hannover 1868, καὶ Hom. Odys. von G. C. Crusius. Γ. 340.

καὶ τὸ σκόροδον, ὡς καὶ τοῦτο ἀλεξητήριον τῆς βασκανίας ὄν, ὥς τινες οἴονται· λέγουσι γάρ, „τὸ φορεῖ για νὰ μὴ τὸν πιάσῃ 'μάτι“· τοῦτ' ἔστιν, „τοῦτο φέρει ἵνα μὴ ὑπὸ φθονεροῦ βλέμματος βασκανθῇ“. Τὸ πτύειν δὲ οὐ μόνον τῆς βασκανίας ἀλεξητήριον, ἀλλὰ καὶ ἄλλων κακῶν ἀποτρεπτικὸν εἶναι νομίζουσιν· ἢν γὰρ τύχῃ λόγος, περὶ ἀπαισίων γιγνόμενος, οἷον ἐπιληψίας καὶ ἄλλων τοιούτων, οἵ τε ἀκροαταὶ καὶ ὁ λέγων τρὶς εἰς τοὺς ἑαυτῶν κόλπους ἐμπτύουσιν ὡς τὸ κακὸν ἀφ' ἑαυτῶν ἀποτρέψωνται, οπως ποιεῖ καὶ ὁ τοῦ Θεοφράστου δεισιδαίμων[13]). Τοιαύτην οὖν οἱ ἀρχαῖοι περὶ τῆς βασκανίας καὶ τῶν ταύτης φαρμάκων δόξαν εἶχον, ἥτις καὶ νῦν παρὰ τοῖς πλείστοις τῶν Ἑλλήνων διασώζεται[14]). Νῦν δὲ λέγομεν ὀλίγα καὶ περὶ Ἐπῳδῶν.

Ε'. Περὶ φαρμακείας καὶ ἐπῳδῶν.

Ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων τῇ ἰατρικῇ συνυπῆρχε παρ' Ἕλλησι καὶ ἡ φαρμακεία, ἥτις βοτάναις τισὶν ἐχρῆτο οὐ μόνον πρὸς ἀποτροπὴν κακοῦ τινος ἀλλὰ καὶ ἐπαγωγὴν τοιούτου. Τὴν τέχνην δὲ ταύτην ἤσκουν μάλιστα γυναῖκες, φαρμακεύτριαι καλούμεναι, (ὧν τὰ πρῶτα ἔφερον αἱ τῆς Θεσσαλίας[1]), οὐ μόνον ποικίλας

13) Θεοφρ. Χαρακτ. 16.
14) Ὅρα Wachsmuth σελ. 33.
1) Ὅρα Wachsmuth σελ. 34.

τῶν ἀνθρώπων νόσους ῥίζαις δένδρων καὶ βοτάναις θεραπεύειν ἐπιχειροῦσαι, ἀλλὰ καὶ καυχώμεναι ὅτι οἷαί τε ἦσαν καὶ ἄλλα, ἀνίατα νομιζόμενα νοσήματα, μαγγανίαις καὶ ἄλλαις μηχαναῖς ἰᾶσθαι· οἷον ἐν τῷ δευτέρῳ Εἰδυλλίῳ τοῦ Θεοκρίτου[2] *ἡ φαρμακεύτρια Σιμαίθα καυχᾶται ὅτι θανατηφόρα φάρμακα τῷ ἐραστῇ αὐτῆς φυλάττει. Τοιαῦται φαρμακεύτριαι ὑπάρχουσι καὶ σήμερον ἐν Ἑλλάδι· αὐτὸς γάρ ποτε ἤκουσα γυναικός, ἧ θυγάτηρ ἦν γάμου ὡραία, λεγούσης πρὸς ἄνδρα τῆς κόρης καταφρονοῦντα καὶ γαμεῖν οὐκ ἐθέλοντα, ὅτι μαγείαις*[3] *αὐτὸν ἐπὶ τούτῳ ἐξαναγκάσοι. Καὶ νοσοῦντός τινος, οὐκ ἰατρὸν ἐπιστήμονα οἱ πολλοὶ μεταπέμπονται, ἀλλά, ταῖς ἐπῳδαῖς καὶ γοητείαις πιστεύοντες εἰς ἐπῳδοὺς γυναῖκας καταφεύγουσιν, αἵτινες, ἵνα τὸ νόσημα θεραπεύσωσι, μυστηριώδη τινὰ καὶ ἀκατάληπτα παρὰ τῷ ἀρρώστῳ καθήμεναι ἐπᾴδουσιν. Οὐ μόνον δὲ ὁ πολὺς ὄχλος ἀλλὰ καί τινες τῶν παιδείας τινὸς μετειληφότων νοσοῦντες, καὶ τὴν ἀπὸ τῶν ἰατρῶν σωτηρίαν ἀπεγνωκότες, τέλος τοιαύτας*

---

2) *Θεοκρ. Εἰδύλ.* 2. 161:

„Τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
„Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα."

3) *Τὰς μαγείας ταύτας, ὡς ἐγὼ παρὰ εἰδότος ποτὲ ἤκουσα, ποιοῦσιν αἱ νῦν φαρμακεύτριαι, μάγισσαι λεγόμεναι, ὅπως πῆρίπου καὶ ἡ φαρμακεύτρια τοῦ Θεοκρίτου ἐν 2. Εἰδυλ.*

σπλάγχνα τῶν ζώων ἀλλὰ καὶ ἄλλα αὐτῶν μέρη σκ[illegible]ο-ποῦντες ἔκ τινων αὐτοῖς ἐγνωσμένων σημείων ἀγαθ[illegible]ν ἢ κακὴν τὴν τῶν ἐπιχειρήσεων αὐτῶν ἔκβασιν ἐσεσθ[illegible]αι ἐμαντεύοντο· τοῦτο καὶ νῦν ὁ πολὺς ἐν Ἑλλάδι ὄχλ[illegible]ς ποιεῖ· καὶ νῦν γὰρ οἱ πολλοὶ ὅταν κρέα ἐσθίω[illegible]ν ὀπτῶν ἀρνῶν ἢ κριῶν, λαμβάνοντες τὴν ὠμοπλάτ[illegible]ν τοῦ ζώου, καὶ πρὸς τὸ φῶς τοῦ Ἡλίου κρατοῦντ[illegible]ς αὐτὴν τὸ μέλλον συμβήσεσθαι ἔκ τινων ἐπ' αὐτῆς σ[illegible]η-μείων προλέγουσι.

Περὶ δὲ τῶν ὀνείρων καὶ τῆς τούτων ἑρμηνεί[illegible]ας κρατεῖ καὶ νῦν ἡ αὐτὴ δόξα οἵα καὶ παρὰ τοῖς ἀ[illegible]ρ-χαίοις [2])· καὶ σήμερον δῆλα δὴ ἰδών τις ἐνύπνιον, δι[illegible]η-γεῖται, εὐθὺς τῆς εὐνῆς ἐξανιστάμενος, πρωῒ τοῖς ο[illegible]ἰ-κείοις τὸ ὄνειρον πυνθανόμενος παρ' αὐτῶν τί πο[illegible]τε τοῦτο δηλοῖ, ὅμοια ποιῶν ὅπως καὶ ὁ τοῦ Θεοκρ[illegible]ί-του ἐν τῷ εἰκοστῷ πρώτῳ Εἰδυλλίῳ ἁλιεύς. Τούτω[illegible]ν δὲ τὸ ἐνύπνιον ἑρμηνεῦσαι μὴ δυνηθέντων, ὁ τοῦτ[illegible]ο ἰδὼν πρὸς τοὺς ὀνειροκρίτας πορεύεται, τί τὸ ὄνειρο[illegible]ν

---

2) Θεοκρ. Εἰδύλ. 21, 29:

„Ἀρ' ἔμαθες κρίνειν πὸκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον·
„οὔ σ' ἐθέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον.
„ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.
„οὐ γὰρ νικαξῇ κατὰ τὸν νόον· οὗτος ἄριστος
„ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς."

δηλοῖ ἐρωτήσων, ὡς καὶ ὁ τοῦ Θεοφράστου[3]) δεισιδαίμων ποιεῖ. Καὶ τοιούτους ἀρίστους τῶν ὀνείρων ἐξηγητὰς τοὺς τῆς Λακεδαίμονος κατοίκους ὑπάρχειν φασίν, ὧν τινες καὶ μισθὸν τῆς τῶν ὀνείρων ἑρμηνείας λαμβάνουσιν ἀπὸ τῆς ὀνειροκριτικῆς, οὕτως εἰπεῖν, διαγιγνόμενοι, ὡς καὶ ὁ ὑπὸ Πλουτάρχου[4]) μνημονευόμενος Λυσίμαχος· Ὑπάρχουσι δὲ καὶ βιβλία περὶ τῆς τῶν ὀνείρων ἑρμηνείας διδάσκοντα οὐκ ὀλίγα, ᾿ονειροκρίται καλούμενοι.

Ταῦτα μὲν οὖν εἶχον εἰπεῖν περὶ τῶν παρὰ τοῖς νῦν Ἕλλησιν ἠθῶν καὶ νομίμων. Ἐκ πάντων δὲ τούτων γίγνεται δῆλον ὅτι περί τε τὰς ταφάς, γάμους καὶ τὸν λοιπὸν βίον πλεῖστα τῶν παρὰ τοῖς παλαιοῖς Ελλησιν ἠθῶν καὶ νομίμων ἔτι καὶ νῦν ἀπὸ παλαιοτάτου διασώζεται[5]). Ταῦτα δὲ μεταξὺ πολλῶν ἄλλων

---

3) Θεοφρ. Χαρ. 16: „καὶ ὅταν ἐνύπνιον ἴδῃ πορεύεται πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ προσεύχεσθαι δεῖ."

4) Πλούτ. β. Ἀριστείδ. 27, 20: „ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε."

5) Wachsmuth S. 35: „Endlich sind in unabsehbarer Menge Gewohnheiten; Sitten und Gebräuche jeder Art bis zu den Gesten der Pantomimik herunter treu vom Alterthum bis auf die Gegenwart fortgeführt: sie blieben, wie natürlich, am leichtesten und am meisten

ἀποδείκνυσιν, ὅτι οὐ μετανάσται, οὐδ' ἐπήλυδες, ἐκ ξένης γῆς εἰσβαλόντες εἰσὶν οἱ νῦν τῆς Ἑλλάδος κάτοικοι, ὅπως οἱ περὶ τὸν Φαλλμερΰερον ἰσχυρίζονται, ἀλλὰ γνήσιοι Ἕλληνες ἔκ τε πατρὸς καὶ μητρὸς ἐγένοντο, καὶ ἀμιγεῖς ξένων καὶ βαρβάρων λαῶν εἰσιν, ὅπως καὶ Ε. Κούρτιος[6] *λέγει.*

---

bei den wichtigsten Ereignissen des menschlichen Lebens haften, vorzüglich bei dem Anfangs-, Höhe- und Endpunkt desselben, der Geburt, der Hochzeit und dem Tode. Doch all das übergehe ich, da hier die Fülle auch nur in ihren Grundzügen zu erschöpfen doch schier unmöglich ist; und gedenke zum Schluss nur noch der anmuthigen kindlichen Feier, mit der man von Alters her Frühlings Anfang in Griechenland begeht."

6) Griechische Geschichte von Ernst Curtius. Ὅρα 1. τόμ. σελ. 21.

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

*Περὶ τῆς γλώσσης**).

Τὸ μόνον, ὡς ἐγῷμαι, εἰς ὀρθὴν περὶ τῆς καταγωγῆς τοῦ γένους παντὸς ἔθνους λύσιν ἄγον τὰ ἔθη καὶ ἡ γλῶσσά ἐστι· ταῦτα δέ, ὡς οἷόν τε ἐπιμελῶς ἐρευνῶν τις εἰς ἀσφαλέστατον ἀφικνεῖται συμπέρασμα. Ὁ Ε. Κούρτιος[1]) *περὶ τῆς τῶν Ἑλλήνων γλώσσης τοῦ λόγου γινόμενος τάδε ἐν τῇ ἱστορίᾳ αὐτοῦ φησιν. „Ἡ γλῶσσα ἦν τὸ τῆς ἀναγνωρίσεως τῶν Ἑλλήνων σύμβολον· ταύτῃ οἱ Ἕλληνες διεκρίνοντο τῶν ἄλλων λαῶν· ἡ ἑλληνικὴ γλῶσσα ἔμεινεν ὁ ἄλυτος δεσμός, ὃς τὰ τῇδε κἀκεῖσε διεσκορπισμένα ἑλληνικὰ φῦλα σφιγκτῶς συνδεδεμένα συνεῖχεν. Ἐν πάσαις ταῖς διαλέκτοις, λέγει Κούρτιος, μίαν εἶναι τὴν ἐπικρατοῦσαν γλῶσσαν, καὶ τὸν τῶν Ἑλλήνων λαῶν τὸν μόνον ἀμιγῆ· ἔνθα τὴν Ἑλλάδα φωνὴν λαλεῖσθαι, ἐκεῖ καὶ ἑλληνικὸν βίον. Προσέτι ὁ αὐτὸς Κούρτιος ἐπιφέρει, ὅτι ἡ γλῶσσα τῶν*

---

*) *Τὴν πραγματείαν ταύτην ἐπιχειρήσας ἐν νῷ εἶχον, ἵνα πληρέστερον τὸν περὶ γλώσσης λόγον ποιήσωμαι· ἀλλά, κακῇ τύχῃ, τὰ ἐμὰ ἀναγκάζοντα ὡς τάχιστα εἰς Ἑλλάδα ἐπανελθεῖν, βραχέα μόνον περὶ ταύτης ἐρῶ.*

1) Griechische Geschichte von Ernst Curtius. *Ὅρα* 1. *τόμ. σελ.* 21.

ἀρχαίων Ἑλλήνων διεσώθη ἡμῖν, καὶ ζῇ ἔτι καὶ νῦν ἐν τῷ στόματι λαοῦ, ὃς ἐκ ταύτης τὴν μετὰ τῶν ἀρχαίων Ἑλλήνων συνάφειαν καὶ καταγωγὴν τοῦ γένους αὐτοῖ ἀποδείκνυσιν." Ἀλλ' ὁ Φαλλμεραΰερος ἧττον τὸν νοῦν προσχὼν τοῖς τε ἤθεσι καὶ ἔθεσι, περὶ ὧν ἱκανῶς μοι λέλεκται, καὶ τῇ γλώσσῃ, ἢ ἐν οὐδενὶ λόγῳ ταῦτα τιθείς, ὡς ἀπὸ τρίποδος ἀπεφήνατο, ὅτι οὐδεὶς τῶν νῦν τῆς Ἑλλάδος κατοίκων ἀπόγονος τῶν ἀρχαίων ἐστὶν Ἑλλήνων, καὶ ὅτι οὐδὲ ῥανὶς ἑλληνικοῦ αἵματος ἐν ταῖς φλεψὶν αὐτῶν κυκλοφορεῖ.

Ἔδει δὲ τόν τε Φαλλμεραΰερον καὶ τοὺς αὐτῷ ὁμοφρονοῦντας εἰδέναι, ὅτι ἕτερον τῶν ἑλληνικῶν ἀρχαιοτήτων στοιχεῖον, ὅπερ μέχρι τῶν ἡμερῶν ἡμῶν ὁ ἑλληνικὸς λαὸς διέσωσεν, ἡ γλῶσσά ἐστιν ὡς καὶ Κούρτιος λέγει, ἣν ὁμοίῳ τρόπῳ προΐενται, εἰ καὶ ἔν τισι τῆς Ἑλλάδος τόποις εὕροι ἄν τις διαλεκτικάς τινας διαφοράς, ἀλλ' οὐ διαλέκτους κατὰ τὴν κυρίαν τῆς λέξεως σημασίαν[2]). Πρῶτον μὲν οὖν τἀληθὲς δεῖ μοι ὁμολογῆσαι, ἣν τοὺς τῆς Ἑλλάδος κατοίκους φθέγγεσθαι φωνὴν οὐ τὴν αὐτὴν τῇ τῶν ἀρχαίων Ἑλλήνων συγγραφέων εἶναι, ἀλλὰ πολλὴν ἔχειν τὴν ὁμοιότηκτα πρὸς τὸν Ἕλληνα λόγον· πολλαὶ γὰρ τούτου λέξεις καὶ φράσεις ἐν τῷ στόματι τοῦ χύδην ἐν Ἑλλάδι ὄχλου σώζον-

---

2) Reise in Griechenland von Greverus. Ὅρα σελ. 260.

ἀντὶ λειχήν. — Ξαίνω καὶ ξάνιον. Ὀξύα. — Πλευμόνι ἀντὶ πλεύμων, ποκάριον, πήγανον, παγίδα ἀντὶ παγίς.

— Στημόνιον καὶ στημονίζω, σέλινον. — Τολούπα ἀντὶ τολύπη.—Χτένι ἢ κτένι, τοῦτ' ἔστι ὑφαντικὸς κτείς.

Καὶ ταῦτα μὲν περὶ τῆς Ἀττικῆς, οὕτως, εἰπεῖν, γλώσσης τῶν καθ' ἡμᾶς τῆς Ἑλλάδος κατοίκων. Ἴδωμεν δὲ νῦν εἴ που καὶ τῆς τῶν Δωριέων γλώσσης λέξεις διασώζονται· ἐπεὶ ἔνθα μὲν πάλαι ἡ Ἀττικὴ ἦν ἐν χρήσει διάλεκτος, ἐκεῖ ἔτι καὶ νῦν Ἀττικισμοὶ ἐξακούονται· ἔνθα δὲ ἡ Δωρικὴ ἐκεῖ Δωρισμοὶ ὡσαύτως πλεῖστοι ἐξακούονται.

Περὶ τῆς τῶν καθ' ἡμᾶς Λακώνων ἢ Ζακώνων διαλέκτου τὸν λόγον ποιούμενος ὁ Φαλλμεραΰερος, ὁτὲ μὲν ἀποφαίνεται ὅτι αὕτη ἡ ἀρχαία ἐστὶ τῶν Δωριέων γλῶσσα, ὁτὲ δὲ Σλαβικὴν καὶ ταύτην ὑπάρχειν οἴεται· καὶ διὰ τοῦτο οἱ λοιποὶ τῶν Ἑλλήνων ταύτην οὐ συνιέναι δύνανται. Ἀλλ' ἐγὼ διαβεβαιοῦμαι ὅτι ὅ τε Φαλλμεραΰερος καὶ οἱ τούτῳ ὁμοφρονοῦντες, ἄγνοιαν πεπονθότες, ἐν παχυτάτῳ σκότει ἐπλανήθησαν· οἱ γὰρ Λάκωνες τὴν τῶν προγόνων αὐτῶν φωνήν, καίτοι διεφθαρμένην, προΐενται, ὡς ἐκ τῶν ὀλίγων ἑξῆς μνημονευθησομένων δειχθήσεται.

Ἐν ταύτῃ οὖν τῇ ὑπὸ τῶν Ζακώνων λαλουμένῃ γλώσσῃ ἔχοι ἄν τις εὑρεῖν πλείστας ἀρχαίας καὶ πολλὰς τῶν Δωριέων λέξεις· τοιαῦται δὲ ἐκ τῶν παμπόλλων αἱ ἑξῆς εἰσιν.

σπλάγχνα τῶν ζώων ἀλλὰ καὶ ἄλλα αὐτῶν μέρη σκοποῦντες ἔκ τινων αὐτοῖς ἐγνωσμένων σημείων ἀγαθὴν ἢ κακὴν τὴν τῶν ἐπιχειρήσεων αὐτῶν ἔκβασιν ἔσεσθαι ἐμαντεύοντο· τοῦτο καὶ νῦν ὁ πολὺς ἐν Ἑλλάδι ὄχλος ποιεῖ· καὶ νῦν γὰρ οἱ πολλοὶ ὅταν κρέα ἐσθίωσιν ὀπτῶν ἀρνῶν ἢ κριῶν, λαμβάνοντες τὴν ὠμοπλάτην τοῦ ζώου, καὶ πρὸς τὸ φῶς τοῦ Ἡλίου κρατοῦντες αὐτὴν τὸ μέλλον συμβήσεσθαι ἔκ τινων ἐπ' αὐτῆς σημείων προλέγουσι.

Περὶ δὲ τῶν ὀνείρων καὶ τῆς τούτων ἑρμηνείας κρατεῖ καὶ νῦν ἡ αὐτὴ δόξα οἵα καὶ παρὰ τοῖς ἀρχαίοις[2])· καὶ σήμερον δῆλα δὴ ἰδών τις ἐνύπνιον, διηγεῖται, εὐθὺς τῆς εὐνῆς ἐξανιστάμενος, πρωῒ τοῖς οἰκείοις τὸ ὄνειρον πυνθανόμενος παρ' αὐτῶν τί ποτε τοῦτο δηλοῖ, ὅμοια ποιῶν ὅπως καὶ ὁ τοῦ Θεοκρίτου ἐν τῷ εἰκοστῷ πρώτῳ Εἰδυλλίῳ ἁλιεύς. Τούτων δὲ τὸ ἐνύπνιον ἑρμηνεῦσαι μὴ δυνηθέντων, ὁ τοῦτο ἰδὼν πρὸς τοὺς ὀνειροκρίτας πορεύεται, τί τὸ ὄνειρον

---

2) Θεοκρ. Εἰδύλ. 21, 29:

„Ἆρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον·
„οὔ σ' ἐθέλω τὦμῶ φαντάσματος ἦμεν ἄμοιρον.
„ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.
„οὐ γὰρ νικαξῇ κατὰ τὸν νόον· οὗτος ἄριστος
„ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς."

ηλοῖ ἐρωτήσων, ὡς καὶ ὁ τοῦ Θεοφράστου[3]) δεισιαίμων ποιεῖ. Καὶ τοιούτους ἀρίστους τῶν ὀνείρων ἐξηγητὰς τοὺς τῆς Λακεδαίμονος κατοίκους ὑπάρχειν φασίν, ὧν τινες καὶ μισθὸν τῆς τῶν ὀνείρων ἑρμηνείας λαμβάνουσιν ἀπὸ τῆς ὀνειροκριτικῆς, οὕτως εἰπεῖν, διαγιγνόμενοι, ὡς καὶ ὁ ὑπὸ Πλουτάρχου[4]) μνημονευόμενος Λυσίμαχος· Ὑπάρχουσι δὲ καὶ βιβλία περὶ τῆς τῶν ὀνείρων ἑρμηνείας διδάσκοντα οὐκ ὀλίγα, ὀνειροκρίται καλούμενοι.

Ταῦτα μὲν οὖν εἶχον εἰπεῖν περὶ τῶν παρὰ τοῖς νῦν Ἕλλησιν ἠθῶν καὶ νομίμων. Ἐκ πάντων δὲ τούτων γίγνεται δῆλον ὅτι περί τε τὰς ταφάς, γάμους καὶ τὸν λοιπὸν βίον πλεῖστα τῶν παρὰ τοῖς παλαιοῖς Ελλησιν ἠθῶν καὶ νομίμων ἔτι καὶ νῦν ἀπὸ παλαιοτάτου διασώζεται[5]). Ταῦτα δὲ μεταξὺ πολλῶν ἄλλων

---

3) Θεοφρ. Χαρ. 16: „καὶ ὅταν ἐνύπνιον ἴδῃ πορεύεται πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ προσεύχεσθαι δεῖ.“

4) Πλούτ. β. Ἀριστείδ. 27, 20: „ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε.“

5) Wachsmuth S. 35: „Endlich sind in unabsehbarer Menge Gewohnheiten; Sitten und Gebräuche jeder Art bis zu den Gesten der Pantomimik herunter treu vom Alterthum bis auf die Gegenwart fortgeführt: sie blieben, wie natürlich, am leichtesten und am meisten

[illegible] τὴν Φιλοσοφίαν [illegible] Ἱστορίαν τῶν Ἑλληνικῶν [illegible]. Ι. [illegible] καὶ Σ. Φιντικλέους ἐπ' Ἑλλήνων Συγγραφέων ἑρμηνευτικὰ μαθήματα. Δ. Σεμιτέλου τὴν [illegible] Ρυθμικὴν καὶ Μετρικήν. Ἀλεξ. Ραγκαβῆ τὴν ἀρχαίαν Καλλιτεχνίαν καὶ τὰς πλαστικὰς ἐργασίας τῶν Ἑλλήνων. Στεφάν. Κουμανούδη τὴν λατινικὴν Γραμματολογίαν καὶ ἑρμηνείαν λατίνων Συγγραφέων. Εὐθ. Καστόρχη Ἐγκυκλοπαιδείαν τῆς Φιλολογίας καὶ Ἰδιωτικὸν τῶν Ἑλλήνων Βίον. Ἡρ. Μητσοπούλου Γεωλογίαν. Ὀρυκτολογίαν καὶ Ζωολογίαν. Κ. Παπαρρηγοπούλου Ἱστορίαν τοῦ Ἑλληνικοῦ ἔθνους καὶ Δ. Βερναρδάκη γενικὴν Ἱστορίαν Δ. Στρούμπου τὴν φυσικήν. καὶ τὰ μαθηματικὰ τοῦ Β. Λάκωνος καὶ Ι. Παπαδάκη.

Τούτων οὖν ἁπάντων. οἷς πολλὰς τὰς χάριτας ἔχω, ἀκροασάμενος εἰς Γερμανίαν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ ἀφῖγμαι, καὶ ἐν τῷ τῆς Λειψίας Πανεπιστημίῳ ἐγγραφεὶς τῶν ἑξῆς ἠκροασάμην Καθηγητῶν. Ριτσελίου Ἱστορίαν τῆς ἑλληνικῆς Τραγῳδίας καὶ ἑρμηνείαν τῶν ἑπτὰ ἐπὶ Θήβας τοῦ Αἰσχύλου. Ἱστορίαν τοῦ ῥωμαϊκοῦ Δράματος καὶ ἑρμηνείαν Τρινούμμου τοῦ Πλαύτου. Κλότσιοι περὶ τοῦ λατινικοῦ ὕφους. Γ. Κουρτίου ἑλληνικὴν καὶ λατινικὴν Γραμματικήν, καὶ Φόγτ Ἱστορίαν τοῦ Μεγάλου Ἀλεξάνδρου.

Τούτοις οὖν ἅπασιν, ἀξιοτίμοις καὶ λογίοις ἀνδράσι δημοσίᾳ ἀποδιδοὺς τὴν ὀφειλομένην εὐγνωμοσύνην, καθῆκον ἀπαραίτητον οἶμαι καὶ αὖθις τῷ ἐμῷ εὐεργέτῃ Θεοφάνει χάριτας ὁμολογῆσαι.

Ἔγραφον ἐν Λειψίᾳ μηνὸς Νοεμβρίου.



λέγει[3]) γάρ, „οἱ δὲ ἀνηγάγοντο . . . . . ὡς ἤνοιγεν“· ὅπερ ἀνάλογον τῷ ὑπὸ τῶν Ἑλλήνων ναυτῶν λεγομένῳ „τὸ καΐκι ᾽πάγει ἀνοικτά“· τοῦτ᾽ ἔστι τὸ πλοῖον οἱ ναῦται ἀνάγοντες πελάγιοι φέρονται, καὶ οὐκ ἐγγὺς τῆς παραλίας πλέουσι. Καὶ τοιαύταις μὲν σπανίαις ἀλλ᾽ ἀρχαιοτάταις σημασίαις καὶ ἄλλων πολλῶν λέξεων χρῆται καὶ ὁ τῆς γραφῆς καὶ ἀναγνώσεως ὅλως ἀδαὴς τῶν Ἑλλήνων λαός. Ἐπεὶ δὲ ἔφθην εἰπών, ὅτι οἱ Ἕλληνες ἀείποτε Ἑλληνικαῖς χρῶνται λέξεσι, καίτοι παρεφθαρμέναις, παρατίθημι ἑξῆς κατάλογον λέξεών τινων.

Ἀκόνι ἀντὶ ἀκόνη, ἀδράκτι ἀντὶ ἀτράκτιον, ἀντίον, αὐλή, ἀχινὸς ἀντὶ ἐχῖνος. — Βάτον καὶ βάτος, βάτραχος, βδέλλα, βίκος, βλίτον, βλοσυρός, βουκόλος, βουκέντρα, ἀντὶ βούκεντρον, βούτα (ἐνιαχοῦ λέγεται καὶ βουτῖνα) ἀντὶ βυτίνη ἢ πυτίνη. — Γέρανος, γηροκόμος. — Δαδὶ ἀντὶ δᾴς, δίασμα καὶ διάζεσθαι, δικράνι ἀντὶ δίκρανον, δίμιτον, δόκανον, δοκός, δρεπάνι ἀντὶ δρέπανον. — Ζευγηλάτης καὶ ζευγίτης. — Θημωνία ἀντὶ θημών, θυμάρι ἀντὶ θύμος. — Κάδδος, κάρδαμον, κοπίδι ἀντὶ κοπίς, κάνιστρον, κρησέρα, κόρυζα, κόσκινον, κύμινον, κοντάλι ἀντὶ κύταλον ἢ κοτύλη, κολλοῦρι ἀντὶ κολλύριον, κουββᾶς ἀντὶ κύββη. — Λάχανον, λαψάνη, λάπαθον ἢ λάπατον, λεβέτι ἀντὶ λέβης, λειχῆνα

3) Ξενοφ. Ἑλλην. 1, 1, 2.

ἀντὶ λειχήν. — Ξαίνω καὶ ξάνιον. Ὀξύα. — Πλευμόνι ἀντὶ πλεύμων, ποκάριον, πήγανον, παγίδα ἀντὶ παγίς.

— Στημόνιον καὶ στημονίζω, σέλινον. — Τολούπα ἀντὶ τολύπη.—Χτένι ἢ κτένι, τοῦτ᾽ ἔστι ὑφαντικὸς κτείς.

Καὶ ταῦτα μὲν περὶ τῆς Ἀττικῆς, οὕτως, εἰπεῖν, γλώσσης τῶν καθ᾽ ἡμᾶς τῆς Ἑλλάδος κατοίκων. Ἴδωμεν δὲ νῦν εἴ που καὶ τῆς τῶν Δωριέων γλώσσης λέξεις διασώζονται· ἐπεὶ ἔνθα μὲν πάλαι ἡ Ἀττικὴ ἦν ἐν χρήσει διάλεκτος, ἐκεῖ ἔτι καὶ νῦν Ἀττικισμοὶ ἐξακούονται· ἔνθα δὲ ἡ Δωρικὴ ἐκεῖ Δωρισμοὶ ὡσαύτως πλεῖστοι ἐξακούονται.

Περὶ τῆς τῶν καθ᾽ ἡμᾶς Λακώνων ἢ Ζακώνων διαλέκτου τὸν λόγον ποιούμενος ὁ Φαλλμεραΰερος, ὁτὲ μὲν ἀποφαίνεται ὅτι αὕτη ἡ ἀρχαία ἐστὶ τῶν Δωριέων γλῶσσα, ὁτὲ δὲ Σλαβικὴν καὶ ταύτην ὑπάρχειν οἴεται· καὶ διὰ τοῦτο οἱ λοιποὶ τῶν Ἑλλήνων ταύτην οὐ συνιέναι δύνανται. Ἀλλ᾽ ἐγὼ διαβεβαιοῦμαι ὅτι ὅ τε Φαλλμεραΰερος καὶ οἱ τούτῳ ὁμοφρονοῦντες, ἄγνοιαν πεπονθότες, ἐν παχυτάτῳ σκότει ἐπλανήθησαν· οἱ γὰρ Λάκωνες τὴν τῶν προγόνων αὐτῶν φωνήν, καίτοι διεφθαρμένην, προΐενται, ὡς ἐκ τῶν ὀλίγων ἑξῆς μνημονευθησομένων δειχθήσεται.

Ἐν ταύτῃ οὖν τῇ ὑπὸ τῶν Ζακώνων λαλουμένῃ γλώσσῃ ἔχοι ἄν τις εὑρεῖν πλείστας ἀρχαίας καὶ πολλὰς τῶν Δωριέων λέξεις· τοιαῦται δὲ ἐκ τῶν παμπόλλων αἱ ἑξῆς εἰσιν.

ἀρχαίων Ἑλλήνων διεσώθη ἡμῖν, καὶ ζῇ ἔτι καὶ νῦν ἐν τῷ στόματι λαοῦ, ὃς ἐκ ταύτης τὴν μετὰ τῶν ἀρχαίων Ἑλλήνων συνάφειαν καὶ καταγωγὴν τοῦ γένους αὐτοῖ ἀποδείκνυσιν." Ἀλλ' ὁ Φαλλμεραΰερος ἧττον τὸν νοῦν προσχὼν τοῖς τε ἤθεσι καὶ ἔθεσι, περὶ ὧν ἱκανῶς μοι λέλεκται, καὶ τῇ γλώσσῃ, ᾗ ἐν οὐδενὶ λόγῳ ταῦτα τιθείς, ὡς ἀπὸ τρίποδος ἀπεφήνατο, ὅτι οὐδεὶς τῶν νῦν τῆς Ἑλλάδος κατοίκων ἀπόγονος τῶν ἀρχαίων ἐστὶν Ἑλλήνων, καὶ ὅτι οὐδὲ ῥανὶς ἑλληνικοῦ αἵματος ἐν ταῖς φλεψὶν αὐτῶν κυκλοφορεῖ.

Ἔδει δὲ τόν τε Φαλλμεραΰερον καὶ τοὺς αὐτῷ ὁμοφρονοῦντας εἰδέναι, ὅτι ἕτερον τῶν ἑλληνικῶν ἀρχαιοτήτων στοιχεῖον, ὅπερ μέχρι τῶν ἡμερῶν ἡμῶν ὁ ἑλληνικὸς λαὸς διέσωσεν, ἡ γλῶσσά ἐστιν ὡς καὶ Κούρτιος λέγει, ἣν ὁμοίῳ τρόπῳ προΐενται, εἰ καὶ ἔν τισι τῆς Ἑλλάδος τόποις εὕροι ἄν τις διαλεκτικάς τινας διαφοράς, ἀλλ' οὐ διαλέκτους κατὰ τὴν κυρίαν τῆς λέξεως σημασίαν[2]*. Πρῶτον μὲν οὖν τἀληθὲς δεῖ μοι ὁμολογῆσαι, ἣν τοὺς τῆς Ἑλλάδος κατοίκους φθέγγεσθαι φωνὴν οὐ τὴν αὐτὴν τῇ τῶν ἀρχαίων Ἑλλήνων συγγραφέων εἶναι, ἀλλὰ πολλὴν ἔχειν τὴν ὁμοιότηκτα πρὸς τὸν Ἕλληνα λόγον· πολλαὶ γὰρ τούτου λέξεις καὶ φράσεις ἐν τῷ στόματι τοῦ χύδην ἐν Ἑλλάδι ὄχλου σώζον-*

---

2) **Reise in Griechenland von Greverus.** *Ὅρα σελ.* **260.**

ΒΙΟΣ Χ. Α. Π.

Χαρίσης Α. Πούλιος ἐγεννήθην ἐν Σελίτσῃ τῆς Μακεδονίας, ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ ἐκ γονέων τὸ τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας πρεσβευόντων δόγμα, ὃ κἀυτὸς ἐδεξάμην.

Παῖς ἔτι ὢν ἑλληνικῆς ἀγωγῆς καὶ προπαιδεύσεως ἠξίωμαι· εἶτα δὲ τοῖς τῆς ἐμῆς πατρίδος διδασκαλείοις παραδοθεὶς ἐνταῦθα διετέλεσα φοιτῶν πλέον ἢ πέντε ἔτη. Τριςκαιδεκαέτης δὲ γενόμενος εἰς τὴν ἐλευθέραν Ἑλλάδα παρὰ τῷ ἐμῷ θείῳ, Ἀρχιεπισκόπῳ τῆς ἐν Πελοποννήσῳ Μαντινείας καὶ Κυνουρίας, ἀφίχθην. Κἀν τῷ ἐν Τριπόλει Ἑλληνικῷ Σχολείῳ καὶ Γυμνασίῳ τὴν ἐγκύκλιον παιδείαν σπουδάζων, κάτοχος, ὅσον γε τῇ ἡλικίᾳ ἐνῆν, τοῦ Ἕλληνος λόγου ἐγενόμην, οὐ μὴν οὐδὲ τῶν στοιχειωδῶν γνώσεων τῆς ἄλλης ἐπιστήμης ἄμοιρος κατέστην.

Τελειοτέρας μὲν οὖν παιδείας ἐφιέμενος, πρὸς ὃ ἀγαθὸν προστάτην τὸν ἐμὸν θεῖον ἔσχον, εἰς Ἀθήνας μετέβην τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ ἔτει, καὶ τῇ ἐννάτῃ πρὸς τῇ δεκάτῃ τοῦ μηνὸς Σεπτεμβρίου τοῖς τῆς φιλοσοφικῆς Σχολῆς φοιτηταῖς τοῦ ἐν Ἀθήναις Ἑλληνικοῦ Πανεπιστημίου νομίμῳ ἐγγραφῇ συνηρίθμημαι. Ἐνταῦθα δὲ τρία ὅλα ἔτη φοιτῶν διετέλεσα, καὶ τῶν ἑξῆς ἀξιοτίμων Καθηγητῶν, ὡς οἷόν τε ἐπιμελῶς ἠκροασάμην. Φιλίππου Ἰωάννου καὶ Ν.

λέγει[3]) γάρ, „οἱ δὲ ἀνηγάγοντο ..... ὡς ἤνοιγεν“· ὅπερ ἀνάλογον τῷ ὑπὸ τῶν Ἑλλήνων ναυτῶν λεγομένῳ „τὸ καΐκι ᾿πάγει ἀνοικτά“· τοῦτ᾿ ἔστι τὸ πλοῖον οἱ ναυται ἀνάγοντες πελάγιοι φέρονται, καὶ οὐκ ἐγγὺς τῆς παραλίας πλέουσι. Καὶ τοιαύταις μὲν σπανίαις ἀλλ᾿ ἀρχαιοτάταις σημασίαις καὶ ἄλλων πολλῶν λέξεων χρῆται καὶ ὁ τῆς γραφῆς καὶ ἀναγνώσεως ὅλως ἀδαὴς τῶν Ἑλλήνων λαός. Ἐπεὶ δὲ ἔφθην εἰπών, ὅτι οἱ Ἕλληνες ἀείποτε Ἑλληνικαῖς χρῶνται λέξεσι, καίτοι παρεφθαρμέναις, παρατίθημι ἑξῆς κατάλογον λέξεών τινων.

Ἀκόνι ἀντὶ ἀκόνη, ἀδράκτι ἀντὶ ἀτράκτιον, ἀντίον, αὐλή, ἀχινὸς ἀντὶ ἐχῖνος. — Βάτον καὶ βάτος, βάτραχος, βδέλλα, βίκος, βλίτον, βλοσυρός, βουκόλος, βουκέντρα, ἀντὶ βούκεντρον, βούτα (ἐνιαχοῦ λέγεται καὶ βουτίνα) ἀντὶ βυτίνη ἢ πυτίνη. — Γέρανος, γηροκόμος. — Δαδὶ ἀντὶ δᾴς, δίασμα καὶ διάζεσθαι, δικράνι ἀντὶ δίκρανον, δίμιτον, δόκανον, δοκός, δρεπάνι ἀντὶ δρέπανον. — Ζευγηλάτης καὶ ζευγίτης. — Θημωνία ἀντὶ θημών, θυμάρι ἀντὶ θύμος. — Κάδδος, κάρδαμον, κοπίδι ἀντὶ κοπίς, κάνιστρον, κρησέρα, κόρυζα, κόσκινον, κύμινον, κουτάλι ἀντὶ κύταλον ἢ κοτύλη, κολλοῦρι ἀντὶ κολλύριον, κουββᾶς ἀντὶ κύββη. — Λάχανον, λαψάνη, λάπαθον ἢ λάπατον, λεβέτι ἀντὶ λέβης, λειχῆνα

3) Ξενοφ. Ἑλλην. 1, 1, 2.

ἀντὶ λει χήν. — Ξαίνω καὶ ξάνιον. Ὀξύα. — Πλευμόνι ἀντὶ πλεύμων, ποκάριον, πήγανον, παγίδα ἀντὶ παγίς. — Στημόνιον καὶ στημονίζω, σέλινον. — Τολούπα ἀντὶ τολύπη.—Χτένι ἢ κτένι, τοῦτ᾽ ἔστι ὑφαντικὸς κτείς.

Καὶ ταῦτα μὲν περὶ τῆς Ἀττικῆς, οὕτως, εἰπεῖν, γλώσσης τῶν καθ᾽ ἡμᾶς τῆς Ἑλλάδος κατοίκων. Ἴδωμεν δὲ νῦν εἴ που καὶ τῆς τῶν Δωριέων γλώσσης λέξεις διασώζονται· ἐπεὶ ἔνθα μὲν πάλαι ἡ Ἀττικὴ ἦν ἐν χρήσει διάλεκτος, ἐκεῖ ἔτι καὶ νῦν Ἀττικισμοὶ ἐξακούονται· ἔνθα δὲ ἡ Δωρικὴ ἐκεῖ Δωρισμοὶ ὡσαύτως πλεῖστοι ἐξακούονται.

Περὶ τῆς τῶν καθ᾽ ἡμᾶς Λακώνων ἢ Ζακώνων διαλέκτου τὸν λόγον ποιούμενος ὁ Φαλλμεραΰερος, ὁτὲ μὲν ἀποφαίνεται ὅτι αὕτη ἡ ἀρχαία ἐστὶ τῶν Δωριέων γλῶσσα, ὁτὲ δὲ Σλαβικὴν καὶ ταύτην ὑπάρχειν οἴεται· καὶ διὰ τοῦτο οἱ λοιποὶ τῶν Ἑλλήνων ταύτην οὐ συνιέναι δύνανται. Ἀλλ᾽ ἐγὼ διαβεβαιοῦμαι ὅτι ὅ τε Φαλλμεραΰερος καὶ οἱ τούτῳ ὁμαφρονοῦντες, ἄγνοιαν πεπονθότες, ἐν παχυτάτῳ σκότει ἐπλανήθησαν· οἱ γὰρ Λάκωνες τὴν τῶν προγόνων αὐτῶν φωνήν, καίτοι διεφθαρμένην, προΐενται, ὡς ἐκ τῶν ὀλίγων ἑξῆς μνημονευθησομένων δειχθήσεται.

Ἐν ταύτῃ οὖν τῇ ὑπὸ τῶν Ζακώνων λαλουμένῃ γλώσσῃ ἔχοι ἄν τις εὑρεῖν πλείστας ἀρχαίας καὶ πολλὰς τῶν Δωριέων λέξεις· τοιαῦται δὲ ἐκ τῶν παμπόλλων αἱ ἑξῆς εἰσιν.

Αἰγίδα, ἄριστος, ἀφηγούμενε ἀντὶ ἀφηγοῦμαι. Γαυρίον ἀντὶ γαυριάω. Δαίσου (ἐκ τοῦ δαίω). Ἐνέγκαμε, ἐνέγκατε. Λεκὸν ἀντὶ λευκόν. Ὄμφακε (ἐκ τοῦ ὄμφαξ). Ποίου ανι.. ..

(ὕειν). Χίμαιρε ἀντὶ χίμαι[illegible] Ἄγκα ἀντὶ ἀγκάς. Λέφω ἀν[illegible] λέπω. Ὄνε ἀντὶ ὄνος, δκ[illegible] ἀντὶ ὅτε. Κοτέου ἀντὶ κοτέω, καὶ πλεῖσται ἄλλαι.

Ὡς δὲ οἱ ἀρχαῖοι συγγραφεῖς Δωρίζοντες πολλοῖς ἰδιωτισμοῖς ἐχρῶντο, οὕτω καὶ οἱ κάτοικοι πάσης τῆς ἐν Ἀρκαδίᾳ Ἐπαρχίας Κυνουρίας, ἔνθα τὴν Δωρικὴν προΐενται διάλεκτον· ἐν πολλαῖς γὰρ λέξεσι τὸ ο καὶ ω εἰς ου τρέπουσι, νοῦσος, ὁράου καὶ στοῦμα λέγοντες· τὸ η εἰς μακρὸν α ἀεὶ τρέπουσι· λέγουσι γὰρ ἁ Μαρία τὰν Μαρίαν, τὰν ψιόυχαν, ἀντὶ ἡ Μαρία, τὴν Μαρίαν, τὴν ψυχήν· τὸ ης πολλῶν τῶν εἰς της ληγόντων ἀρσενικῶν εἰς α τρέπουσιν, οἷον στρατιῶτα ἀντὶ στρατιώτης λέγουσι· καὶ τῷ θ ἀντὶ σ πολλάκις χρῶνται, οἷον σεῖος ἀντὶ θεῖος. Τὸ υ ἐν πλείσταις λέξεσιν ὡς τὸ Γαλλικὸν u *ἐκφωνοῦσι, ψιόυχα, σιόυρου, τιουρός, ἀντὶ ψυχή, σύρω, τυρός λέγοντες.*

Ταῦτα διὰ βραχέων καὶ περὶ τῆς τῶν Ζακώνων γλώσσης εἶχον εἰπεῖν, ἥτις, ὡς ἐμοὶ δοκεῖ, παραφυὰς ἡ θυγάτηρ τῆς ἀρχαίας τῶν Δωριέων διαλέκτου ἐστί· πλείω δὲ περὶ ταύτης εὕροι τις ἂν ἐν τῇ ὑπὸ Φρ. Θειρσίου ἐκδοθείσῃ γραμματικῇ „Ueber die Sprache der Zaconen“.

ΒΙΟΣ Χ. Α. Π.

Χαρίσης Α. Πούλιος ἐγεννήθην ἐν Σελίτσῃ τῆς Μακεδονίας, ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ ἐκ γονέων τὸ τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας πρεσβευόντων δόγμα, ὃ κἀυτὸς ἐδεξάμην.

Παῖς ἔτι ὢν ἑλληνικῆς ἀγωγῆς καὶ προπαιδεύσεως ἠξίωμαι· εἶτα δὲ τοῖς τῆς ἐμῆς πατρίδος διδασκαλείοις παραδοθεὶς ἐνταῦθα διετέλεσα φοιτῶν πλέον ἢ πέντε ἔτη. Τρισκαιδεκαέτης δὲ γενόμενος εἰς τὴν ἐλευθέραν Ἑλλάδα παρὰ τῷ ἐμῷ θείῳ, Ἀρχιεπισκόπῳ τῆς ἐν Πελοποννήσῳ Μαντινείας καὶ Κυνουρίας, ἀφίχθην. Κἀν τῷ ἐν Τριπόλει Ἑλληνικῷ Σχολείῳ καὶ Γυμνασίῳ τὴν ἐγκύκλιον παιδείαν σπουδάζων, κάτοχος, ὅσον γε τῇ ἡλικίᾳ ἐνῆν, τοῦ Ἕλληνος λόγου ἐγενόμην, οὐ μὴν οὐδὲ τῶν στοιχειωδῶν γνώσεων τῆς ἄλλης ἐπιστήμης ἄμοιρος κατέστην.

Τελειοτέρας μὲν οὖν παιδείας ἐφιέμενος, πρὸς ὃ ἀγαθὸν προστάτην τὸν ἐμὸν θεῖον ἔσχον, εἰς Ἀθήνας μετέβην τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ ἔτει, καὶ τῇ ἐννάτῃ πρὸς τῇ δεκάτῃ τοῦ μηνὸς Σεπτεμβρίου τοῖς τῆς φιλοσοφικῆς Σχολῆς φοιτηταῖς τοῦ ἐν Ἀθήναις Ἑλληνικοῦ Πανεπιστημίου νομίμῳ ἐγγραφῇ συνηρίθμημαι. Ἐνταῦθα δὲ τρία ὅλα ἔτη φοιτῶν διετέλεσα, καὶ τῶν ἑξῆς ἀξιοτίμων Καθηγητῶν, ὡς οἷόν τε ἐπιμελῶς ἠκροασάμην. Φιλίππου Ἰωάννου καὶ Ν.

Κοτζιᾶ τὴν Φιλοσοφίαν, Ἀθ. Ῥουσοπούλου Ἱστορίαν τῶν Ἑλληνικῶν γραμμάτων, Δ. Μαυροφρύδου καὶ Σ. Φιντικλέους ἐφ' Ἑλλήνων Συγγραφέων ἑρμηνευτικὰ μαθήματα, Δ. Σεμιτέλου τὴν παλαιὰν Ῥυθμικὴν καὶ Μετρικήν, Ἀλεξ. Ῥαγκαβῆ τὴν ἀρχαίαν Καλλιτεχνίαν καὶ τὰς πολιτικὰς ἀρχαιότητας τῶν Ἑλλήνων, Στεφάν. Κουμανούδη τὴν ῥωμαϊκὴν Γραμματολογίαν καὶ ἑρμηνείαν λατίνων Συγγραφέων, Εὐθ. Καστόρχη Ἐγκυκλοπαιδείαν τῆς Φιλολογίας καὶ ἰδιωτικὸν τῶν Ἑλλήνων Βίον, Ἡρ. Μητσοπούλου Γεωλογίαν, Ὀρυκτολογίαν καὶ Ζωολογίαν, Κ. Παπαρρηγοπούλου Ἱστορίαν τοῦ Ἑλληνικοῦ ἔθνους καὶ Δ. Βερναρδάκη γενικὴν Ἱστορίαν Δ. Στρούμπου τὴν φυσικήν, καὶ τὰ μαθηματικὰ τοῦ Β. Λάκωνος καὶ Ἰ. Παπαδάκη.

Τούτων οὖν ἁπάντων, οἷς πολλὰς τὰς χάριτας ἔχω, ἀκροασάμενος, εἰς Γερμανίαν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ ἀφῖγμαι, καὶ ἐν τῷ τῆς Λειψίας Πανεπιστημίῳ ἐγγραφεὶς τῶν ἑξῆς ἠκροασάμην Καθηγητῶν, Ῥιτσελίου Ἱστορίαν τῆς ἑλληνικῆς Τραγῳδίας καὶ ἑρμηνείαν τῶν ἑπτὰ ἐπὶ Θήβας τοῦ Αἰσχύλου, Ἱστορίαν τοῦ ῥωμαϊκοῦ Δράματος καὶ ἑρμηνείαν Τρινούμμου τοῦ Πλαύτου, Κλοτσίου περὶ τοῦ λατινικοῦ ὕφους, Γ. Κουρτίου ἑλληνικὴν καὶ λατινικὴν Γραμματικήν, καὶ Φόγτ Ἱστορίαν τοῦ Μεγάλου Ἀλεξάνδρου.

Τούτοις οὖν ἅπασιν, ἀξιοτίμοις καὶ λογίοις ἀνδράσι δημοσίᾳ ἀποδιδοὺς τὴν ὀφειλομένην εὐγνωμοσύνην, καθῆκον ἀπαραίτητον οἶμαι καὶ αὖθις τῷ ἐμῷ εὐεργέτῃ Θεοφάνει χάριτας ὁμολογῆσαι.

Ἔγραφον ἐν Λειψίᾳ μηνὸς Νοεμβρίου.





Ἐν Λειψίᾳ, τύποις Ὄθωνος Βιγάνδου.